# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: fgy-ab

*Ἀντιφάνης ὁ κωμικός* · Antiphanes the Comic Poet

# Comic Fragments on Food and Folly

*Ἀποσπάσματα περὶ Σίτων καὶ Μωρίας*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Καὶ πρῶτα μὲν αἴρω
book 1.2 ποθεινὴν μᾶζαν, ἣν
book 1.3 φερέσβιος Δηὼ βροτοῖσι χάρμα δωρεῖται φίλον· ἔπειτα
book 1.4 πνικτὰ τακερὰ μηκάδων μέλη,[ln_5]χλόην καταμπέχοντα, σάρκα νεογενῆ.
book 1.1 [spk_β]Β. τί λέγεις; Α. τραγῳδίαν
book 1.2 περαίνω
book 1.3 Σοφοκλέους.
book 2.1 Ἔστιν δ’ ἑταίρα τῷ τρέφοντι
book 2.2 συμφορά· εὐφραίνεται γὰρ κακὸν ἔχων οἴκοι μέγα.
book 3.1 Ὡς δὴ σὺ τί ποιεῖν δυνάμενος ὀρτυγίου
book 3.2 ψυχὴν ἔχων;
book 4 [spk_β]Ὅλην μύσας ἔκπινε. Β. μέγα τὸ φορτίον.
book 4 [spk_α]Α. οὐχ ὅστις αὐτῆς ἐστιν ἐμπείρως ἔχων.
book 5.1 Ἁρμόδιος ἐπεκαλεῖτο, παιὰν ᾔδετο, μεγάλην Διὸς
book 5.2 σωτῆρος ἄκατον ἦρέ τις.
book 6 Κραμβίδιον ἑφθὸν χάριεν ἀστεῖον πάνυ.
book 7 Ῥαγδαῖος, ἄμαχος, πρᾶγμα μεῖζον ἢ δοκεῖς.
book 1 Χλαμύδα καὶ λόγχην ἔχων, ἀξυνακόλουθος, ξηρός, αὐτολήκυθος.
book 1.1 Μακαρεὺς ἔρωτι τῶν ὁμοσπόρων μιᾶς
book 1.2 πληγείς, τέως μὲν ἐπεκράτει τῆς
book 1.3 συμφορᾶς κατεῖχέ θ’ αὑτόν· εἶτα
book 1.4 παραλαβών
book 1.5 ποτε οἶνον
book 1.6 στρατηγόν, ὃς μόνος θνητοῖς ἄγει[ln_5]τὴν τόλμαν εἰς τὸ πρόσθε τῆς εὐβουλίας, νύκτωρ ἀναστὰς ἔτυχεν ὧν ἐβούλετο.

book 2.1 Τοῦτον οὖν δι’ οἰνοφλυγίαν καὶ πάχος

book 2.2 τοῦ σώματος ἀσκὸν καλοῦσι πάντες οὑπιχώριοι.

book 1.1 [spk_β]Κρέα δὲ τίνος ἥδιστ’ ἂν ἐσθίοις; Β. τίνος; εἰς εὐτέλειαν. τῶν

book 1.2 προβάτων μὲν οἷς ἔνι μήτ’ ἔρια μήτε

book 1.3 τυρός. Α. ἀρνός, φίλτατε. Β. τῶν δ’ αἰγιδίων κατὰ ταὔθ’ ἃ μὴ τυρὸν

book 1.4 ποιεῖ.

book 1.1 [ln_5][spk_α]Α. ἐρίφου. Β. διὰ τὴν ἐπικαρπίαν γὰρ τῶν ἁδρῶν

book 1.2 ταῦτ’ ἐσθίων τὰ φαῦλ’ ἀνέχομαι.

book 2.1 Τῆς οἰκίας τὸ κλισίον, ὃ πρότερόν

book 2.2 ποτ’ ἦν

book 2.3 τοῖς ἐξ ἀγροῦ βουσὶ σταθμός καὶ τοῖς ὄνοις, πεποίηκεν ἐγραστήριον.

book 1.1 Γείτων ἐστί τις κάπηλος. οὗτος εὐθύς, ὅταν ἔλθω

book 1.2 ποτέ διψῶσα, μόνος οἶδ’ ὥς γ’ ἐμοὶ κεράννυται, οὔθ’ ὑδαρὲς οὔτ’ ἄκρατον. οἶδα δ’ ἐγώ ποτε[ln_5]πιοῦσα.

book 1.1 Ἐὰν δὲ τοὐργαστήριον

book 1.2 ποιῆτε

book 1.3 περιβόητον, κατασκεδῶ, νὴ τὴν φίλην Δήμητρα, τὴν μεγίστην ἀρύταιναν ὑμῶν ἐκ μέσου βάψασα

book 1.4 τοῦ λέβητος ζέοντος ὕδατος· εἰ δὲ μή, μηδέποθ’ ὕδωρ πίοιμι[ln_5]ἐλευθέριον.

book 1.1 Τὰς

book 1.2 σηπίας δὸς

book 1.3 πρῶτον. Ἡράκλεις ἄναξ, ἅπαντα

book 1.4 τεθολώκασιν. οὐ βαλεῖς πάλιν εἰς τὴν θάλατταν καὶ πλυνεῖς; μὴ φῶσί σε, Δωριάς, ἀλούτους

book 1.5 σηπίας εἰληφέναι.[ln_5]τὸν κάραβον δὲ τόνδε

book 1.6 πρὸς τὰς μαινίδας ἀπόδος· παχύς γε, νὴ Δί’. Ὦ Ζεῦ τίς

book 1.7 ποτε, ὦ Καλλιμέδων, σὲ κατέδετ’ ἄρτι τῶν φίλων; οὐδεὶς ὃς ἂν μὴ κατατιθῇ τὰς

book 1.8 συμβολάς. ὑμᾶς δ’ ἔταξα δεῦρο

book 1.9 πρὸς τὰ δεξιά[ln_10]τρίγλας, ἔδεσμα

book 1.10 τοῦ καλοῦ Καλλισθένους·

book 1.1 κατεσθίει γοῦν ἐπὶ μιᾷ τὴν οὐσίαν. καὶ τὸν

book 1.2 Σινώπης γόγγρον ἤδη

book 1.3 παχυτέρας ἔχοντ’ ἀκάνθας

book 1.4 τουτονὶ τίς λήψεται

book 1.5 πρῶτος

book 1.6 προσελθών; Μισγόλας γὰρ οὐ πάνυ[ln_15]τούτων ἐδεστής. ἀλλὰ κίθαρος ουτοσί, ὃν ἂν ἴδῃ τὰς

book 1.7 χεῖρας οὐκ ἀφέξεται. καὶ μὴν ἀληθῶς

book 1.8 τοῖς κιθαρῳδοῖς ὡς

book 1.9 σφόδρα ἅπασιν οὗτος ἐπιπεφυκὼς λανθάνει. ἀνδρῶν δ’ ἄριστον κωβιὸν

book 1.10 πηδῶντ’ ἔτι[ln_20]πρὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1.11 Πυθιονίκην τὴν καλὴν πέμψαι με δεῖ· ἁδρὸς γάρ ἐστιν. ἀλλ’ ὅμως οὐ γεύσεται· ἐπὶ τὸ τάριχός ἐστιν ὡρμηκυῖα γάρ. ἀφύας δὲ λεπτὰς τάσδε καὶ τὴν

book 1.12 τρυγόνα

book 1.13 χωρὶς Θεανοῖ δεῦρ’ ἔθηκ’ ἀντιρρόπους.

book 1.1 Ἐπὶ τὸ καινουργεῖν φέρου, οὕτως, ἐκείνως, τοῦτο γιγνώσκων ὅτι ἓν καινὸν ἐγχείρημα, κἂν

book 1.2 τολμηρὸν ᾖ, πολλῶν

book 1.3 παλαιῶν ἐστι

book 1.4 χρησιμώτερον.

book 1.1 [spk_β]Ὦ τᾶν, κατανοεῖς τίς

book 1.2 ποτ’ ἐστὶν οὑτοσί ὁ γέρων; Β. ἀπὸ τῆς μὲν ὄψεως Ἑλληνικός· λευκὴ χλανίς, φαιὸς

book 1.3 χιτωνίσκος καλός, πιλίδιον ἁπαλόν, εὔρυθμος βακτηρία,[ln_5]βαιὰ τράπεζα· τί μακρὰ δεῖ λέγειν; ὅλως αὐτὴν ὁρᾶν γὰρ τὴν Ἀκαδημίαν δοκῶ.

book 1.1 [spk_β]Ἐν

book 1.2 ταῖς

book 1.3 σπυρίσι δὲ τί ποτ’ ἔνεστι, φίλτατε; Β. ἐν

book 1.4 ταῖς

book 1.5 τρισὶν μὲν χόνδρος ἀγαθὸς Μεγαρικός. Α. οὐ Θετταλικὸν τὸν

book 1.6 χρηστὸν εἶναί φασι δέ; Β. * * * * * τῆς

book 1.7 Φοινίκης * * * *[ln_5]σεμίδαλις, ἐκ

book 1.8 πολλῆς

book 1.9 σφόδρ’ ἐξηττημένη.

book 2.1 Πρὸς τῷ μυροπώλῃ γενόμενον κατελίμπανον αὐτὸν

book 2.2 περὶ μύρον * * * * * * * * * * * * μέλλει

book 2.3 τε συνθείς

book 2.4 σοι φέρειν τὰ κινναμώμινα

book 2.5 ταῦτα καὶ τὰ νάρδινα.

book 3.1 Ταῖς δ’ ἐνδυταῖς

book 3.2 στολαῖσι

book 3.3 τετραγῳδημέναις, σκελέαις, τιάραις.

book 1.1 Οὔτε γὰρ νήφοντα δεῖ οὐδαμοῦ, πάτερ, παροινεῖν, οὔθ’ ὅταν πίνειν δέῃ νοῦν ἔχειν. ὅστις δὲ μεῖζον ἢ κατ’ ἄνθρωπον

book 1.2 φρονεῖ * * * μικρῷ πεποιθὼς ἀθλίῳ νομίσματι,[ln_5]εἰς ἄφοδον ἐλθὼν ὅμοιον πᾶσιν αὑτὸν ὄψεται, ἂν

book 1.3 σκοπῇ τὰ τῶν ἰατρῶν

book 1.4 τοῦ βίου

book 1.5 τεκμήρια τὰς

book 1.6 φλέβας θ’ ὅποι φέρονται, τὰς ἄνω καὶ τὰς κάτω

book 1.7 τεταμένας, δι’ ὧν ὁ θνητὸς πᾶς κυβερνᾶται βίος.

book 1.1 Καὶ τότε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1.2 περιπατήσεις κἀπονίψει κατὰ τρόπον τὰς

book 1.3 χεῖρας, εὐώδη λαβὼν τὴν γῆν.

book 1.1 Τίς δ’ ἐγχέλειον ἂν φάγοι ἢ κρανίον

book 1.2 σινόδοντος;

book 1 Λαβὼν ἐπανάξω σύαγρον εἰς τὴν οἰκίαν τῆς νυκτὸς αὐτῆς καὶ λέοντα καὶ λύκον.

book 1.1 Ἐν Λακεδαίμονι γέγονας; ἐκείνων τῶν νόμων μεθεκτέον ἐστίν. βάδιζ’ ἐπὶ δεῖπνον εἰς τὰ φιλίτια, ἀπόλαυε

book 1.2 τοῦ ζωμοῦ, ῥόφει, τοὺς βύστακας[ln_5]μὴ καταφρόνει, μηδ’ ἕτερ’ ἐπιζήτει καλά, ἐν

book 1.3 τοῖς δ’ ἐκείνων ἔθεσιν ἴσθ’ ἀρχαϊκός.

book 1.1 Τὴν δὲ γραῦν τὴν ἀσθενοῦσαν πάνυ πάλαι, τὴν βρυτικήν, ῥιζίον

book 1.2 τρίψας

book 1.3 τι μικρὸν δελεάσας

book 1.4 τε γεννικῇ τὸ μέγεθος κοίλῃ λεπάστῃ τοῦτ’ ἐποίης’ ἐκπιεῖν.

book 1.1 Ποίαν, φράσον γάρ, ᾖδε τὴν

book 1.2 συναυλίαν

book 1.3 ταύτην; ἐπίσταται γάρ, ἀλλ’ ηὔλουν ἔτι μαθόντες, ὥστε

book 1.4 τοὺς αὐλοὺς σύ τε αὐτὴ τελετῇ ψεθείθαμεν

book 1.5 συντυγχάνεις[ln_5]αὐλῶν πέραινε. δέξεται δὲ τἄλλα

book 1.6 σοι. ἡδύ τι κοινόν ἐστιν, οὗ χωρὶς πάλιν

book 1.7 συννεύματ’ οὐ προβλήμαθ’ οἷς

book 1.8 σημαίνεται ἕκαστα.

book 1.1 Ὁ μὲν Μενέλεως ἐπολέμης’ ἔτη δέκα

book 1.2 τοῖς

book 1.3 Τρωσὶ διὰ γυναῖκα τὴν ὄψιν καλήν, Φοινικίδης δὲ Ταυρέᾳ δι’ ἔγχελυν.

book 1.1 Τροφαλίδας

book 1.2 τε λινοσάρκους, μανθάνεις; τυρὸν λέγω.

book 1.1 [spk_α]Α. Πότερ’, ὅταν μέλλω λέγειν

book 1.2 σοι τὴν χύτραν, χύτραν[ln_1]λέγω, ἢ τροχοῦ ῥύμαισι

book 1.3 τευκτὸν κοιλοσώματον κύτος

book 1.4 πλαστὸν ἐκ γαίης, ἐν ἄλλῃ μητρὸς ὀπτηθὲν

book 1.5 στέγῃ, νεογενοῦς

book 1.6 ποίμνης δ’ ἐν αὐτῇ πνικτὰ γαλατοθρέμμονα

book 1 [ln_5][spk_β]τακεροχρῶτ’ εἴδη κύουσαν; Β. Ἡράκλεις, ἀποκτενεῖς

book 1.1 [spk_α]ἆρά μ’, εἰ μὴ γνωρίμως μοι πάνυ

book 1.2 φράσεις κρεῶν χύτραν. Α. εὖ λέγεις. ξουθῆς μελίσσης νάμασιν δὲ συμμιγῆ μηκάδων αἰγῶν ἀπόρρουν θρόμβον, ἐγκαθήμενον εἰς

book 1.3 πλατὺ στέγαστρον ἁγνῆς

book 1.4 παρθένου Δηοῦς κόρης,

book 1.1 [ln_10][spk_β]λεπτοσυνθέτοις

book 1.2 τρυφῶντα μυρίοις καλύμμασιν; ἢ σαφῶς

book 1.3 πλακοῦντα

book 1.4 φράζω

book 1.5 σοι; Β. πλακοῦντα βού-

book 1.1 [ln_11][spk_α]λομαν. Α. Βρομιάδος δ’ ἱδρῶτα

book 1.2 πηγῆς; Β. οἶνον εἰπὲ συν-[ln_12]τεμών. Α. λιβάδα νυμφαίαν δροσώδη; Β. παραλιπὼν ὕδωρ[ln_13]φάθι. Α. κασιόπνουν δ’ αὔραν δι’ αἴθρας; Β. σμύρναν εἰπέ,[ln_14]μὴ μακράν, [ln_15]μηδὲ τοιοῦτ’ ἄλλο μηδέν, μηδὲ τοὔμπαλιν λέγων, ὅτι δοκεῖ τοῦτ’ ἔργον εἶναι μεῖζον, ὥς

book 1.3 φασίν

book 1.4 τινες, αὐτὸ μὲν μηδέν, παρ’ αὐτὸ δ’ ἄλλα

book 1.5 συστρέφειν

book 1.6 πυκνά.

book 2.1 Πενθεῖν δὲ μετρίως

book 2.2 τοὺς

book 2.3 προσήκοντας φίλους· οὐ γὰρ

book 2.4 τεθνᾶσιν, ἀλλὰ τὴν αὐτὴν ὁδόν, ἣν πᾶσιν ἐλθεῖν ἔστ’ ἀναγκαίως ἔχον, προεληλύθασιν. εἶτα χἠμεῖς ὕστερον[ln_5]εἰς

book 2.5 ταὐτὸ καταγωγεῖον αὐτοῖς ἥξομεν, κοινῇ τὸν ἄλλον

book 2.6 συνδιατρίψοντες

book 2.7 χρόνον.

book 1.1 [spk_β]Τονδὶ λέγω, σὺ δ’ οὐ συνίης· κότταβος τὸ λυχνίον ἐστί. πρόσεχε τὸν νοῦν· ᾠὰ μὲν καὶ πέμμα καὶ τράγημα νικητήριον. Β. περὶ τοῦ; γελοῖον. κοτταβιεῖτε τίνα

book 1.2 τρόπον;

book 1.1 [ln_5][spk_α]Α. ἐγὼ διδάξω καθ’ ὅσον ἂν τὸν κότταβον ἀφεὶς ἐπὶ τὴν

book 1.2 πλάστιγγα

book 1.3 ποιήσῃ πεσεῖν— Β. πλάστιγγα

book 1.4 ποίαν; Γ. τοῦτο

book 1.5 τοὐπικείμενον ἄνω τὸ μικρόν, τὸ πινακίσκιον, λέγει. τοῦτ’ ἐστὶ πλάστιγξ. Α. οὗτος ὁ κρατῶν γίγνεται.

book 1.1 [ln_10][spk_β]Β. πῶς δ’ εἴσεταί τις

book 1.2 τοῦτ’; Α. ἐὰν θίγῃ μόνον αὐτῆς, ἐπὶ τὸν μάνην

book 1.3 πεσεῖται καὶ ψόφος ἔσται πάνυ

book 1.4 πολύς. Β. πρὸς θεῶν, τῷ κοττάβῳ πρόσεστι καὶ μάνης

book 1.5 τις ὥσπερ οἰκέτης;[ln_13]* * * *[ln_13]* * * * Β. Ὧι δεῖ λαβὼν τὸ ποτήριον δεῖξον νόμῳ.

book 1.1 [ln_15][spk_α]Α. αὐλητικῶς δεῖ καρκινοῦν

book 1.2 τοὺς δακτύλους, οἶνόν

book 1.3 τε μικρὸν ἐγχέαι, καὶ μὴ πολύν· ἔπειτ’ ἀφήσεις. Β. τίνα

book 1.4 τρόπον; Α. δεῦρο βλέπε. τοιοῦτον. Β. ὦ Πόσειδον, ὡς ὑψοῦ σφόδρα. Α. οὕτω

book 1.5 ποιήσεις. Β. ἀλλ’ ἐγὼ μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1.6 σφενδόνῃ[ln_20]οὐκ ἂν ἐφικοίμην αὐτός’. Α. ἀλλὰ μάνθανε.

book 1.1 Ἐπεὶ δὲ τοῦτ’ οὐκ ἔστι, κακοδαίμων

book 1.2 σφόδρα ὅστις γαμεῖ γυναῖκα, πλὴν ἐν

book 1.3 τοῖς

book 1.4 Σκύθαις· ἐκεῖ μόνον γὰρ οὐχὶ φύετ’ ἄμπελος.

book 1.1 [spk_β]Καὶ περὶ μὲν ὄψου γ’ ἠλίθιον τὸ καὶ λέγειν ὥσπερ

book 1.2 πρὸς ἀπλήστους. ἀλλὰ ταυτὶ λάμβανε, παρθένε, τὰ μῆλα. Β. καλά γε. Α. καλὰ δῆτ’, ὦ θεοί· νεωστὶ γὰρ τὸ σπέρμα

book 1.3 τοῦτ’ ἀφιγμένον[ln_5]εἰς τὰς Ἀθήνας ἐστὶ παρὰ τοῦ βασιλέως. Β. παρ’ Ἑσπερίδων, ᾤμην γε. Γ. νὴ τὴν

book 1.4 Φωσφόρον, φησὶν τὰ χρυσᾶ μῆλα

book 1.5 ταῦτ’ εἶναι. Β. τρία μόνον ἐστίν. Α. ὀλίγον ἐστὶ τὸ καλὸν

book 1.6 πανταχοῦ καὶ τίμιον.

book 2.1 Ἐνεγκεῖν ἐξ ἀγροῦ μοι τῶν ῥοῶν τῶν

book 2.2 σκληροκόκκων.

book 3.1 Καλέσας

book 3.2 τε παρατίθησιν ἐν

book 3.3 παροψίδι βολβούς.

book 1 Ἀγγεῖον ἀλφιτήριον κόϊξ.

book 3.1 Τὰς

book 3.2 προσφόρους ἡμῖν

book 3.3 τροφάς, σκορόδια, τυρόν, κρόμμυα, κάππαριν * * * πάντα

book 3.4 ταῦτ’ ἐστὶν δραχμῆς.

book 1 Βότρυς, ῥόας, φοίνικας, ἕτερα νώγαλα.

book 1.1 [spk_α]Α. Καὶ μὴν ἑστιάσω τήμερον ὑμᾶς ἐγώ· σὺ δ’ ἀγοράσεις ἡμῖν λαβών, Πίστ’, ἀργύριον. Β. ἄλλως γὰρ οὐκ ἐπίσταμαι

book 1.2 χρηστῶς ἀγοράζειν. Α. φράζε δή, Φιλούμενε,

book 1.1 [ln_5][spk_φ]ὄψῳ τίνι

book 1.2 χαίρεις; Φ. πᾶσι. Α. καθ’ ἕκαστον λέγε, ἰχθὺν τίν’ ἡδέως φάγοις ἄν; Φ. εἰς ἀγρόν ἦλθεν φέρων πότ’ ἰχθυοπώλης μαινίδας καὶ τριγλίδας, καὶ νὴ Δί’ ἤρεσεν

book 1.3 σφόδρα ἡμῖν ἅπασιν. Α. εἶτα καὶ νῦν, εἰπέ μοι,[ln_10]τούτων φάγοις ἄν; Φ. κἄν

book 1.4 τις ἄλλος μικρὸς ᾖ· τοὺς γὰρ μεγάλους

book 1.5 τούτους ἅπαντας νενόμικα ἀνθρωποφάγους ἰχθῦς. Α. τί φής, ὦ φίλτατε, ἀνθρωποφάγους; πῶς; Π. ὧν γ’ ἂν ἄνθρωπος φάγοι, δῆλον ὅτι. ταῦτα δ’ ἐστὶν Ἑλένης βρώματα,

book 1 [ln_15]ἅ φησιν οὗτος, μαινίδας καὶ τριγλίδας.

book 1.1 Κογχίον

book 1.2 τε μικρὸν ἀλλᾶντός

book 1.3 τε προστετμημένον.

book 2 Πατάνια, σεῦτλον, σίλφιον, χύτρας, λύχνους, κορίαννα, κρόμμυ’, ἅλας, ἔλαιον, τρύβλιον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 3.1 Ἐκτεμὼν
book 3.2 χορδῆς μεσαῖον.
book 1.1 Ὁρᾷς, ἐν τῇδε μὲν ὁ τῶν
book 1.2 Φρυγῶν τύραννος οἰκῶν
book 1.3 τυγχάνει, γέρων ἀπ’ ὀργῆς, Λαομέδων καλούμενος.
book 2.1 [spk_β]Οἴμοι
book 2.2 περιπλοκὰς λίαν ἐρωτᾷς. Β. ἀλλ’ ἐγὼ σαφῶς
book 2.3 φράσω. τῆς ἁρπαγῆς
book 2.4 τοῦ παιδὸς εἰ ξύνοισθά τι, ταχέως λέγειν
book 2.5 χρὴ πρὶν κρέμασθαι. Α. πότερά μοι[ln_5]γρῖφον
book 2.6 προβάλλεις
book 2.7 τοῦτον εἰπεῖν, δέσποτα, τῆς ἁρπαγῆς
book 2.8 τοῦ παιδὸς εἰ ξύνοιδά τι, ἢ τί δύναται τὸ ῥηθέν; Β. ἔξω
book 2.9 τις δότω ἱμάντα
book 2.10 ταχέως. Α. οἷον οὐκ ἔγνων ἴσως. ἔπειτα
book 2.11 τοῦτο ζημιοῖς με; μηδαμῶς·[ln_10]ἅλμης δ’ ἐχρῆν
book 2.12 τι περιφέρειν
book 2.13 ποτήριον. Β. οἶσθ’ οὖν ὅπως δεῖ τοῦτό ς’ ἐκπιεῖν; Α. ἐγὼ κομιδῇ γε. Β. πῶς; Α. ἐνέχυρον ἀποφέροντά σου. Β. οὐκ ἀλλ’ ὀπίσω τὼ χεῖρε
book 2.14 ποιήσαντα δεῖ ἕλκειν ἀπνευστί.
book 1.1 Ἧττόν τ’ ἀποσταίην ἂν ὦν
book 1.2 προειλόμην ἢ Καλλιμέδων γλαύκου
book 1.3 πρόοιτ’ ἂν κρανίον.
book 1.1 Τάριχος ἀντακαῖον εἴ τις βούλετ’ ἢ Γαδειρικόν, Βυζαντίας δὲ θυννίδος ὀσμαῖσι
book 1.2 χαίρει.
book 2 Σησαμίδας ἢ μελίπηκτα ἢ τοιοῦτό τι.
book 1.1 Ἀπέλαυσα
book 1.2 πολλῶν καὶ καλῶν ἐδεσμάτων, πιών
book 1.3 τε προπόσεις
book 1.4 τρεῖς ἴσως ἢ τέτταρας ἐστρηνίων
book 1.5 πως, καταβεβρωκὼς
book 1.6 σιτία ἴσως ἐλεφάντων
book 1.7 τεττάρων.
book 2.1 Ὁ γὰρ
book 2.2 παράσιτός ἐστιν, ἂν ὀρθῶς
book 2.3 σκοπῇς, κοινωνὸς ἀμφοῖν, τῆς τύχης καὶ τοῦ βίου. οὐδεὶς
book 2.4 παράσιτος εὔχετ’ ἀτυχεῖν
book 2.5 τοὺς φίλους, τοὐναντίον δὲ πάντας εὐτυχεῖν ἀεί.[ln_5]ἔστιν
book 2.6

πολυτελὴς τῷ βίῳ τις, οὐ φθονεῖ, μετέχειν δὲ τούτων εὔχετ’ αὐτῷ συμπαρών. κἀστὶν φίλος γενναῖος ἀσφαλής θ’ ἅμα, οὐ μάχιμος, οὐ πάροξυς, οὐχὶ βάσκανος, ὀργὴν ἐνεγκεῖν ἀγαθός· ἂν

book 2.7 σκώπτης, γελᾷ·

book 2.1 ἐρωτικός, γελοῖος, ἱλαρὸς τῷ τρόπῳ, πάλιν

book 2.2 στρατιώτης ἀγαθὸς εἰς ὑπερβολήν, ἂν ᾖ τὸ σιτάρχημα δεῖπνον εὐτρεπές.

book 3.1 Τὸ ποτήριόν μοι τὸ μέγα

book 3.2 προσφέρει λαβών. ἐπεχεάμην ἄκρατον, οὐχὶ παιδίου, κυάθους θεῶν

book 3.3 τε καὶ θεαινῶν μυρίους· ἔπειτ’ ἐπὶ τούτοις πᾶσι τῆς

book 3.4 σεμνῆς θεᾶς, καὶ τοῦ γλυκυτάτου βασιλέως διμοιρίαν.

book 4.1 Οἰνογευστεῖ, περιπατεῖ ἐν

book 4.2 τοῖς

book 4.3 στεφάνοις.

book 1.1 [spk_α]A. Τί οὖν ἐνέσται

book 1.2 τοῖς θεοῖσιν; B. οὐδὲ ἕν, ἂν μὴ κεράσῃ τις. A. ἴσχε, τὸν ᾠδὸν λάμβανε. ἔπειτα μηδὲν τῶν ἀπηρχαιωμένων

book 1.3 τούτων

book 1.4 περάνῃς, τὸν

book 1.5 Τελαμῶνα, μηδὲ τὸν παιῶνα, μηδ’ Ἁρμόδιον.

book 2.1 Οὐδεὶς πώποτε, ὦ δέσποτ’, ἀπέθαν’ ἀποθανεῖν

book 2.2 πρόθυμος ὤν, τοὺς γλιχομένους δὲ ζῆν κατασπᾷ τοῦ σκέλους ἄκοντας ὁ Χάρων εἰς τὸ πορθμεῖόν τ’ ἄγει σιτιζομένους καὶ πάντ’ ἔχοντας ἀφθόνως. ὁ δὲ λιμός ἐστιν ἀθανασίας φάρμακον.

book 1.1 Κοσμίως

book 1.2 ποιῶν τὴν ἔνθεσιν μικρὰν μὲν ἐκ

book 1.3 τοῦ πρόσθε, μεστὴν δ’ ἔνδοθεν τὴν

book 1.4 χεῖρα, καθάπερ αἱ γυναῖκες, κατέφαγεν πάμπολλα καὶ ταχύτατα.

book 1 Ἐκεῖσε διαπλέω ὅθεν διεσπάσθημεν, ἐρρῶσθαι λέγων ἅπασιν, ἵπποις, σιλφίῳ, συνωρίσιν, καυλῷ, κέλησι; μασπέτοις, πυρετοῖς, ὀποῖς.

book 1.1 Ὁρᾶν

book 1.2 τε κείμενα ἄμητας ἡμιβρῶτας ὀρνίθειά τε, ὧν οὐδὲ λειφθέντων θέμις δούλῳ φαγεῖν, ὥς

book 1.3 φασιν αἱ γυναῖκες.

book 2.1 Σικελῶν

book 2.2 τε τέχναις ἡδυνθεῖσαι δαιτὸς διαθρυμματίδες.

book 1.1 Πόθεν οἰκήτωρ; ἤ τις Ἰώνων

book 1.2 τρυφεραμπεχόνων ἁβρὸς ἡδυπαθὴς ὄχλος ὥρμηται;

book 1.1 Ἐπαίζομεν μὲν ἀρτίως

book 1.2 τοῖς ἀστρίχοις.

book 1.1 Ὦ γῆρας, ὡς ἅπασιν ἀνθρώποισιν εἶ ποθεινόν, ὡς εὔδαιμον, εἶθ’ ὅταν

book 1.2 παρῇς, ἀχθηρόν, ὡς μοχθηρόν, εὖ λέγει τέ σε οὐδείς, κακῶς δὲ πᾶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1.3 τις ὃς

book 1.4 σοφῶς λέγει.

book 1.1 Ἔπειτα

book 1.2 πουλύπους

book 1.3 τετμημένος ἐν βατανίοισιν ἑφθός.

book 2 Ἐγὼ ξενιτευόμενος ἐστρατευόμην.

book 3.1 [spk_β]Πάνυ

book 3.2 συχνὴ σφύραινα. Β. κέστραν ἀττικιστὶ δεῖ λέγειν.

book 1.1 Λύπη γὰρ ἀνθρώποισι καὶ τὸ ζῆν κακῶς ὥσπερ

book 1.2 πονηρὼ ζωγράφω τὰ χρώματα

book 1.3 πρώτιστον ἀφανίζουσιν ἐκ

book 1.4 τοῦ σώματος.

book 1.1 Δύστηνος ὅστις ζῇ θαλάττιον βίον· τῶν γὰρ

book 1.2 πλεόντων ζητεῖν. στάδια ἑκατὸν ἐλθεῖν

book 1.3 που δὴ κρεῖττον ἢ πλεῦσαι

book 1.4 πλέθρον. πλεῖς τὴν θάλατταν

book 1.5 σχοινίων

book 1.6 πωλουμένων;

book 2.1 Ἐν γῇ πένεσθαι μᾶλλον ἢ πλουτοῦντα

book 2.2 πλεῖν.

book 1.1 Εἶτ’ οὐ δικαίως εἰμὶ φιλογύνης ἐγὼ καὶ τὰς ἑταίρας ἡδέως πάσας ἔχω; τουτὶ γὰρ αὐτὸ πρῶτον ὃ σὺ ποιεῖς

book 1.2 παθεῖν, μαλακαῖς καλαῖς

book 1.3 τε χερσὶ τριφθῆναι πόδας,[ln_5]πῶς οὐχὶ σεμνόν ἐστι;

book 1.1 Ἀνδρὸς διαφέρει

book 1.2 τοῦτ’ ἀνήρ· ὃ μὲν κακῶς

book 1.3 πράττων τὸ λυποῦν ἤγαγ’ εἰς

book 1.4 παράστασιν, ὃ δ’ ἐμφρόνως δεξάμενος ἤνεγκεν καλῶς.

book 1.1 Καὶ σοῦ γ’ ἐπώνυμός

book 1.2 τις ἐν φήμαις βροτῶν Θρήκης κατάρδων

book 1.3 ποταμὸς ὠνομασμένος, Στρυμών, μεγίστας ἐγχέλεις κεκτημένος.

book 1.1 [spk_β]Λοῦται δ’ ἀληθῶς; Β. ἀλλὰ τί; ἐκ

book 1.2 χρυσοκολλήτου γε κάλπιδος μύρῳ Αἰγυπτίῳ μὲν

book 1.3 τοὺς πόδας καὶ τὰ σκέλη, φοινικίνῳ δὲ τὰς γνάθους καὶ τιτθία,[ln_5]σισυμβρίνῳ δὲ τὸν ἕτερον βραχίονα, ἀμαρακίνῳ δὲ τὰς ὀφρῦς καὶ τὴν κόμην, ἑρπυλλίνῳ δὲ τὸ γόνυ καὶ τὸν αὐχένα.

book 1.1 Ἅπαν τὸ λυποῦν ἐστιν ἀνθρώπῳ νόσος ὀνόματ’ ἔχουσα

book 1.2 πολλά.

book 1.1 [spk_β]Πῶς οὖν διαιτώμεσθα; Β. τὸ μὲν ἐφίππιον

book 1.2 στρῶμ’ ἐστὶν ἡμῖν, ὁ δὲ καλὸς πῖλος καλὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1.3 ψυκτήρ· τί βούλει; πάντ’, Ἀμαλθείας κέρας.

book 2.1 Τῶν δ’ ἀκοντίων

book 2.2 συνδοῦντες ὀρθὰ τρία λυχνείῳ χρώμεθα.

book 1.1 Εἰ τῇ δῆλος

book 1.2 φιάλην Ἄρεος, κατὰ Τιμόθεον, ξυστόν

book 1.3 τε βέλος.

book 1.1 Οὐχ ὁρᾷς ὀρχούμενον

book 1.2 ταῖς

book 1.3 χερσὶ τὸν βάκηλον; οὐδ’ αἰσχύνεται ὁ τὸν Ἡράκλειτον πᾶσιν ἐξηγούμενος, ὁ τὴν Θεοδέκτου μόνος ἀνευρηκὼς τέχνην,[ln_5]ὁ τὰ κεφάλαια

book 1.4 συγγράφων Εὐριπίδῃ.

book 1.1 Τρίποδα καὶ κάδον

book 1.2 παραθέμενος

book 1.3 ψυκτῆρά τ’ οἴνου * * μεθύσκεται.

book 2.1 Πότος ἔσται * *[ln_5]σφοδρότερος· οὐκοῦν, εἰ φράσαι

book 2.2 τις, οὐκ ἔτι ἔξεστι κυαθίζειν γάρ * * * * τὸν δὲ κάδον ἔξω καὶ τὸ ποτήριον λαβὼν ἀπόφερε τἄλλα πάντα.

book 1-2.1 Οὐ ψεῦδος οὐδέν

book 1-2.2 φησιν.[ln_1]* * * * Ὀφθαλμὸν ὤρυττέν

book 1-2.3 τις ὥσπερ ἰχθύος Μάτων

book 1-2.4 προσελθών.

book 3 Εἰσδυόμενος εἰς πόρκον, ὅθεν ἔξω πάλιν οὐ ῥᾳδίως ἔξειμι τὴν αὐτὴν ὁδόν.

book 4 Στειλεάν, ῥαφανῖδα, σικύους τέτταρας.

book 1.1 Οὐκ ἐφύσων οἱ Λάκωνες ὡς ἀπόρθητοί ποτε, νῦν δ’ ὁμηρεύους’ ἔχοντες

book 1.2 πορφυροῦς κεκρυφάλους;

book 1.1 Τὸ δὲ τυραννεῖν ἐστιν * ἢ τί ποτε τὸ σπουδαῖον; ἀκολουθεῖν ἐρεῖς ἐν τῷ Λυκείῳ μετὰ σοφιστῶν, νὴ Δία, λεπτῶν ἀσίτων

book 1.2 συκίνων, λέγονθ’ ὅτι[ln_5]τὸ πρᾶγμα

book 1.3 τοῦτ’ οὐκ ἔστιν εἴπερ γίγνεται· οὐδ’ ἔστι γάρ

book 1.4 πω γιγνόμενον ὃ γίγνεται, οὐδ’ εἰ πρότερον ἦν, ἔστιν ὅ γε νῦν γίγνεται· ἔστιν γὰρ οὐκ ὂν οὐδέν· ὃ δὲ μὴ γέγονέ πω, οὐκ ἔστιν ὥσπερ γέγονεν, ὁ δὲ μὴ γέγονέ πω·

book 1.1 [ln_10]ἐκ

book 1.2 τοῦ γὰρ εἶναι γέγονεν· εἰ δ’ οὐκ ἦν ὅθεν, πῶς ἐγένετ’ ἐξ οὐκ ὄντος; οὐχ οἷόν

book 1.3 τε γάρ. εἰ δ’ αὐτόθεν

book 1.4 πη γέγονεν, οὐκ ἔσται * * κεἴποι δέ πω

book 1.5 τις· εἴ ποθεν γενήσεται

book 1.6 τοὐκ ὄν, εἰς οὐκ ὂν γὰρ οὐ δυνήσεται.[ln_15]ταυτὶ δ’ ὅ τι ἐστὶν οὐδ’ ἂν ἀπόλλων μάθοι.

book 1.1 Ὅστις τέχνην κατέδειξε

book 1.2

πρῶτος τῶν θεῶν, οὗτος μέγιστον εὗρεν ἀνθρώποις κακόν· ὅταν γὰρ ἀπορῆταί τις, ἂν μὲν ἀργὸς ᾖ, ἐλθὼν ἀπεκινδύνευσεν ἡμέραν μίαν, ὥστ’ ἢ γεγονέναι λαμπρὸν ἢ τεθνηκέναι. ἡμεῖς δ’ ἔχοντες ἀρραβῶνα τὴν τέχνην
book 1.3 τοῦ ζῆν, ἀεὶ πεινῶμεν ἐπὶ ταῖς ἐλπίσιν, ἐξόν
book 1.4 τε μικρὸν διαπορηθῆναι
book 1.5 χρόνον, τὸν βίον ἅπαντα
book 1.6 τοῦτο δρᾶν αἱρούμεθα.
book 1.1 Ἐγὼ πρότερον μὲν
book 1.2 τοὺς κελεύοντας λέγειν γρίφους
book 1.3 παρὰ πότον ᾠόμην ληρεῖν
book 1.4 σαφῶς λέγοντας οὐδέν· ὁπότε
book 1.5 προστάττοιτό τις εἰπεῖν ἐφεξῆς ὅ τι φέρων
book 1.6 τις μὴ φέρει, ἐγέλων νομίζων λῆρον· οὐκ ἂν γενόμενον οὐδέποτέ γ’ ᾤμην
book 1.7 πρᾶγμα
book 1.8 παντελῶς λέγειν, ἐνέδρας δ’ ἕνεκα. νυνὶ δὲ τοῦτ’ ἔγνωχ’ ὅτι ἀληθὲς ἦν· φέρομεν γὰρ ἄνθρωποι δέκα ἔρανόν
book 1.9 τιν’, οὐ φέρει δὲ τούτων τὴν
book 1.10 φορὰν οὐδείς. σαφῶς οὖν ὅ τι φέρων
book 1.11 τις μὴ φέρει, τοῦτ’ ἔστιν, ἦν θ’ ὁ γρῖφος ἐνταῦθα ῥέπων. καὶ τοῦτο μὲν δὴ κἄστι
book 1.12 συγγνώμην ἔχον· ἀλλ’ οἷα λογοποιοῦσιν ἐν τῷ πράγματι οἱ τἀργύριον μὴ κατατιθέντες, ὡς
book 1.13 σφόδρα Φίλιππος. ἆρ’ ἦν εὐτυχής
book 1.14 τις νὴ Δία.
book 2.1 Ἄτοπόν γε κηρύττουσιν ἐν
book 2.2 τοῖς ἰχθύσιν κήρυγμ’, ὅπου καὶ νῦν
book 2.3 τις ἐκεκράγει μέγα μέλιτος γλυκυτέρας μεμβράδας φάσκων ἔχειν. εἰ τοῦτο
book 2.4 τοιοῦτ’ ἐστίν, οὐδὲν κωλύει τοὺς μελιτοπώλας αὖ λέγειν βοᾶν θ’ ὅτι
book 2.5 πωλοῦσι τὸ μέλι
book 2.6 σαπρότερον τῶν μεμβράδων.
book 1.1 [spk_β]Ἔπειτα κἀκροκώλιον ὕειον Ἀφροδίτῃ. Β. γελοῖον. Α. ἀγνοεῖς. ἐν τῇ Κύπρῳ δ’ οὕτω
book 1.2 φιληδεῖ ταῖς ὑσίν, ὦ δέσποθ’, ὥστε
book 1.3 σκατοφαγεῖν ἀπεῖρξε τὸ ζῷον * * * τοὺς δὲ βοῦς ἠνάγκασεν.
book 1 Γύναι, πρὸς αὐλὸν ἦλθες. ὀρχήσει πάλιν τὴν ἴγδιν. τὴν θυΐαν ἀγνοεῖς;
book 1.1 Ἐλθών
book 1.2 τε πρὸς τὸν
book 1.3 τεμαχοπώλην
book 1.4 περίμενε, παρ’ οὗ φέρειν εἴωθα· κἂν οὕτω τύχῃ, Εὔθυνος * * ἀπολοπίζων αὐτόθι
book 1.5 χρηστόν
book 1.6 τι περιμένων κέλευσόν μοι
book 1.7 τεμεῖν.

book 2.1 [spk_β]Ὁ μὲν ἀγρῷ τρεφόμενος θαλάττιον . . οὗτος οὐδὲν ἐσθίει, πλὴν τῶν

book 2.2 παρὰ γῆν, γόγγρον

book 2.3 τιν’ ἢ νάρκην

book 2.4 τιν’ ἢ θύννης τὰ πρὸς τῇ Β. ποῖα; Α. τὰ κάτωθεν λέγω.[ln_5]Β. τούτους φάγοις ἄν; Γ. τοὺς γὰρ ἄλλους νενόμικα ἀνθρωποφάγους ἰχθῦς. Α. τὸ δεῖνα δ’ ἐσθίεις;

book 2.1 [spk_γ]τουτὶ κακόνωτα

book 2.2 πλοῖα. Γ. Κωπᾴδας λέγεις. Β. ἀγρίως γε. Γ. παρὰ λίμνην γεωργῶν

book 2.3 τυγχάνω· τὰ δ’ ἐγχέλεια γράψομαι λιποταξίου·[ln_10]κομιδῇ γὰρ οὐκ ἦν οὐδαμοῦ

book 1.1 Ἔστω δ’ ὑμῖν κεστρεὺς

book 1.2 τμητός, νάρκη

book 1.3 πνικτή, πέρκη

book 1.4 σχιστή, τευθὶς

book 1.5 σακτή, συνόδων ὀπτός, γλαύκου

book 1.6 προτομή, γόγγρου κεφαλή,[ln_5]βατράχου γαστήρ, θύννου λαγόνες, βατίδος νῶτον, κέστρας ὀσφύς, ψήττας κίσχος, μαινίς, καρίς, τρίγλη, φυκίς· τῶν

book 1.7 τοιούτων μηδὲν ἀπέστω.

book 2.1 Τῶν

book 2.2 χερσαίων δ’ ὑμῖν ἥξει

book 2.3 παρ’ ἐμοῦ ταυτί· βοῦς ἀγελαῖος, τράγος ἠλιβάτας, αἴξ οὐρανία, κριὸς

book 2.4 τομίας,[ln_5]κάπρος ἐκτομίας, ὗς οὐ τομίας, δέλφαξ, δασύπους, ἔριφοι, * * τυρὸς

book 2.5 χλωρός, τυρὸς ξηρός, τυρὸς κοπτός, τυρὸς ξυστός, τυρὸς

book 2.6 τμητός, τυρὸς

book 2.7 πηκτός.

book 1.1 [spk_β]Ἐν ὅσῳ δ’ ἀκροῶμαί σου, κέλευσόν μοί τινα φέρειν ἀπονίψασθαι. Β. δότω

book 1.2 τις δεῦρ’ ὕδωρ καὶ σμῆμα.

book 2.1 Τῶν θαλαττίων δ’ ἀεὶ ὄψων ἓν ἔχομεν, διὰ τέλους δὲ τοῦθ’, ἅλας. * * * * ἐπὶ δὲ τούτοις πίνομεν οἰνάριον εἶδος, νὴ Δί’, οἰκίας

book 2.2 τρόπον[ln_5]Πόσειδος οἷον

book 2.3 τοῖς

book 2.4 παροῦσι

book 2.5 συμφέρει ἁπαξάπασιν ὀξυβάφῳ ποτηρίῳ.

book 3.1 Πρῶτον μὲν ὥσπερ

book 3.2 πυθαγορίζων ἐσθίει ἔμψυχον οὐδέν, τῆς δὲ πλείστης

book 3.3 τοὐβολοῦ μάζης μελαγχρῆ μερίδα λαμβάνων λέπει.

book 1.1 Τράπεζα

book 1.2 φυστημινεὶς ἀλλὰ μὴν δαίμονος ἀγαθοῦ μετάνιπτρον, ἐντραγεῖν, σπονδή, κρότος.

book 1.1 Κεστρεῖς ἔχων ἄλλους

book 1.2 στρατιώτας

book 1.3 τυγχάνεις νήστεις.

book 2 Ὁ δεῖν' Ἰᾶπυξ, κέρασον εὐζωρέστερον.

book 1.1 [spk_β]Οἶνον Θάσιον πίνοις ἄν; Β. εἴ τις ἐγχέαι. Α. πρὸς ἀμυγδάλας δὲ πῶς ἔχεις; Β. εἰρηνικῶς. μαλακὰς

book 1.2 σφόδρα, δι' ἃς μέλιτι

book 1.3 προσπαίζειν βία. Α. μελίπηκτα δ' εἴ σοι

book 1.4 προσφέροι; Β. τρώγοιμι καὶ

book 1 [ln_5][spk_α]ᾠὸν δὲ καταπίνοιμ' ἄν. Α. ἄλλου δεῖ τινος;

book 1.1 Ἀστάφιδος, ἁλῶν, σιραίου, σιλφίου, τυροῦ, θύμου, σησάμου, νίτρου, κυμίνου, ῥοῦ, μέλιτος, ὀριγάνου, βατανίων, ὄξους, ἐλαῶν, εἰς ἀβυρτάκην

book 1.2 χλόης, καππάριδος, ᾠῶν, ταρίχους, καρδάμων, θρίων, ὀποῦ.

book 2 Ἐνταῦθ' ἀναρίστητος εὐθὺς κιθαριεῖ.

book 1.1 Ἀλλὰ πρὶν δεδειπνάναι ἡμᾶς

book 1.2 παρέσται.

book 1.1 Παρετέθη

book 1.2 τρίπους

book 1.3 πλακοῦντα

book 1.4 χρηστόν, ὦ πολυτίμητοι θεοί, ἔχων ἐν ἀργυρῷ τε

book 1.5 τρυβλίῳ μέλι.

book 2.1 Εἶτ' ἔστιν ἢ γένοιτ' ἂν ἡδίων τέχνη, ἢ πρόσοδος ἄλλη

book 2.2 τοῦ κολακεύειν εὐφυῶς; ὁ ζωγράφος

book 2.3 πονεῖ τι καὶ πικραίνεται, ὁ γεωργὸς ἐν ὅσοις ἐστὶ κινδύνοις πάλιν.[ln_5]πρόσεστι πᾶσιν ἐπιμέλεια καὶ πόνος. ἡμῖν δὲ μετὰ γέλωτος ὁ βίος καὶ τρυφῆς· οὗ γὰρ τὸ μέγιστον ἔργον ἐστὶ παιδιά, ἁδρὸν γελάσαι, σκῶψαί τιν', ἐκπιεῖν

book 2.4 πολύν, οὐχ ἡδύ; ἐμοὶ μὲν μετὰ τὸ πλουτεῖν δεύτερον.

book 1 Κολχὶς ἄνθρωπος πάροινος.

book 1.1 Καὶ τἄλλα δεινούς

book 1.2 φασι

book 1.3 τοὺς Αἰγυπτίους εἶναι τὸ νομίσαι τ' ἰσόθεον τὴν ἔγχελυν· πολὺ τῶν θεῶν γάρ ἐστι

book 1.4 τιμιωτέρα· τῶν μὲν γὰρ εὐξαμένοισιν ἔσθ' ἡμῖν

book 1.5 τυχεῖν,[ln_5]τούτων δὲ δραχμὰς

book 1.6 τοὐλάχιστον δώδεκα ἢ πλέον ἀναλώσασιν ὀσφρέσθαι μόνον. οὕτως ἔσθ' ἅγιον

book 1.7 παντελῶς τὸ θηρίον.

book 1 Ἔρχεται, μετέρχεθ' αὕτη, προσέρχετ', οὐ μετέρχεται, ἥκει, πάρεστι, ῥύπτεται, προσέρχεται, σμῆται, κτενίζετ', ἐκβέβηκε, τρίβεται,[ln_5]λοῦται, σκοπεῖται, στέλλεται, μυρίζεται, κοσμεῖτ', ἀλείφετ'· ἂν δ' ἔχῃ τι ἀπάγχεται.

book 1 Τοῦτον ἐγὼ κρίνω μετανιπτρίδα τῆς Ὑγιείας πίνειν ζωροτέρῳ χρώμενον οἰνοχόῳ.

book 1.1 Ἀσκοπυτίνην

book 1.2 τινα δίψους ἀρωγόν.

book 1.1 Ἐπὶ χρήμασιν δ' ὢν ἔμπορος

book 1.2 φρονεῖ μέγα, ὧν ἐστι πάντων ἐνίοτ’ ἄνεμος κύριος.
book 1.1 Προσέλαβον ἐλθὼν
book 1.2 τουτονὶ τραπεζοποιόν, ὃς
book 1.3 πλυνεῖ σκεύη, λύχνους ἑτοιμάσει, σπονδὰς
book 1.4 ποιήσει, τἄλλ’ ὅσα
book 1.5 τούτῳ προσήκει.
book 1.1 Ἦν
book 1.2 χιτὼν ἀμόργινος, ἕτερος δὲ περιηγητός ἐστιν οὑτοσί.
book 1.1 Τήν
book 1.2 τε παῖδ’ ἀλείμματα
book 1.3 παρὰ τῆς θεοῦ λαβοῦσαν εἶτα
book 1.4 τοὺς πόδας ἐκέλευ’ ἀλείφειν
book 1.5 πρῶτον, εἶτα τὰ γόνατα. ὡς θᾶττον ἡ παῖς δ’ ἥψατ’ αὐτοῦ τῶν
book 1.6 ποδῶν[ln_5]ἔτριψέ τ’, ἀνεπήδησεν.
book 1.1 Εἶτ’ οὐ σοφοὶ δῆτ’ εἰσὶν οἱ Σκύθαι
book 1.2 σφόδρα, οἳ γενομένοισιν εὐθέως
book 1.3 τοῖς
book 1.4 παιδίοις διδόασιν ἵππων καὶ βοῶν πίνειν γάλα; οὐ μὰ Δία
book 1.5 τιτθὰς εἰσάγουσι βασκάνους,[ln_5]καὶ παιδαγωγοὺς αὖθις, ὧν μεῖζον [κακὸν οὐκ ἔστιν οὐδέν, μετά] γε μαίας νὴ Δία· αὗται δ’ ὑπερβάλλουσι, μετά γε νὴ Δία
book 1.6 τοὺς μητραγυρτοῦντάς γε· πολὺ γὰρ αὖ γένος μιαρώτατον
book 1.7 τοῦτ’ ἐστίν, εἰ μὴ νὴ Δία[ln_10]τοὺς ἰχθυοπώλας βουλεταί γέ τις λέγειν, μετά γε
book 1.8 τοὺς
book 1.9 τραπεζίτας· ἔθνος
book 1.10 τούτου γὰρ οὐδέν ἐστιν ἐξωλέστερον.
book 1.1 Τῶν
book 1.2 Πυθαγορικῶν δ’ ἔτυχον ἄθλιοί τινες ἐν τῇ χαράδρᾳ τρώγοντες ἅλιμα καὶ κακὰ τοιαῦτα
book 1.3 συλλέγοντες ἐν τῷ κωρύκῳ.
book 1.1 Οὐκ ἔστιν οὐδὲν θηρίον τῶν ἰχθύων ἀτυχέστερον· τῷ μὴ γὰρ ἀποχρῆν ἀποθανεῖν αὐτοῖς ἁλοῦσιν, εἶτα κατεδηδεσμένοις εὐθὺς
book 1.2 ταφῆναι, παραδοθέντες ἄθλιοι[ln_5]τοῖς ἰχθυοπώλαις
book 1.3 τοῖς κακῶς ἀπολουμένοις σήπονθ’, ἕωλοι κείμενοι δύ’ ἡμέρας ἢ τρεῖς· μόλις δ’ ἐάν
book 1.4 ποτ’ ὠνητὴν
book 1.5 τυφλὸν λάβωσιν, ἔδωκαν τῶν νεκρῶν ἀναίρεσιν
book 1.6 τούτῳ· κομίσας δ’ ἐξέβαλεν * * οἴκαδε,[ln_10]τὴν
book 1.7 πεῖραν ἐν τῇ ῥινὶ τῆς ὀσμῆς λαβών.
book 1.1 [spk_β]Σὺ δ’ ἀλλὰ πῖθι. Β. τοῦτο μέν
book 1.2 σοι
book 1.3 πείσομαι καὶ γὰρ ἐπαγωγόν, ὦ θεοί, τὸ σχῆμά πως τῆς κύλικός ἐστιν ἄξιόν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1.4 τε τοῦ κλέους

book 1.5 τοῦ τῆς ἑορτῆς. οὗ μὲν ἦμεν ἄρτι γὰρ[ln_5]ἐξ ὀξυβαφίων κεραμέων ἐπίνομεν· τούτῳ δέ, τέκνον, πολλὰ κἀγάθ’ οἱ θεοὶ τῷ δημιουργῷ δοῖεν, ὃς ἐποίησέ σε, τῆς

book 1.6 συμμετρίας καὶ τῆς ἀφελείας οὕνεκα.

book 2.1 Ταῖς εὐτελείαις οἱ θεοὶ χαίρουσι γάρ· τεκμήριον δ’ ὅταν γὰρ ἑκατόμβας

book 2.2 τινὲς θύωσιν, ἐπὶ τούτοις ἅπασιν ὕστατος πάντων καὶ λιβανωτὸς ἐπετέθη,[ln_5]ὡς τἄλλα μὲν τὰ πολλὰ παραναλούμενα δαπάνην ματαίαν οὖσαν αὐτῶν οὕνεκα, τὸ δὲ μικρὸν αὐτὸ τοῦτ’ ἀρεστὸν

book 2.3 τοῖς θεοῖς.

book 3.1 [spk_β]Βούλει καὶ σύ, φιλτάτη, πιεῖν; Β. καλῶς ἔχοιμι. Α. τοιγαροῦν φέρε· μέχρι γὰρ

book 3.2 τριῶν δεῖν

book 3.3 φασὶ τιμᾶν

book 3.4 τοὺς θεούς.

book 1.1 Ἐγὼ τέως μὲν ᾤόμην τὰς Γοργόνας εἶναί τι λογοποίημα, πρὸς ἀγορὰν δ’ ὅταν ἔλθω

book 1.2 πεπίστευκ’· ἐμβλέπων γὰρ αὐτόθι

book 1.3 τοῖς ἰχθυοπώλαις, λίθινος εὐθὺς γίγνομαι,[ln_5]ὥστ’ ἐξ ἀνάγκης ἔστ’ ἀποστραφέντι μοι λαλεῖν

book 1.4 πρὸς αὐτούς· ἂν ἴδω γὰρ ἡλίκον ἰχθὺν ὅσου

book 1.5 τιμῶσι, πήγνυμαι

book 1.6 σαφῶς.

book 2.1 Ὁ πλοῦτός ἐστι

book 2.2 παρακάλυμμα τῶν κακῶν, ὦ μῆτερ, ἡ πενία δὲ περιφανές

book 2.3 τε καὶ ταπεινόν.

book 1.1 Παῖς ὢν μετ’ ἀδελφῆς εἰς Ἀθήνας ἐνθάδε ἀφικόμην ἀχθεὶς ὑπό τινος ἐμπόρου, Σύρος τὸ γένος ὤν· περιτυχὼν δ’ ἡμῖν ὁδὶ κηρυττομένοις ὀβολοστάτης ὢν ἐπρίατο,[ln_5]ἄνθρωπος ἀνυπέρβλητος εἰς

book 1.2 πονηρίαν, τοιοῦτος οἷος μηδὲν εἰς τὴν οἰκίαν μηδ’ ὧν ὁ Πυθαγόρας ἐκεῖνος ἤσθιεν ὁ τρισμακαρίτης, εἰσφέρειν ἔξω θύμου.

book 2.1 [spk_β]Ὁ δεσπότης δὲ πάντα τὰ παρὰ τοῦ πατρὸς ἀπέλαβεν ὥσπερ ἔλαβεν. Β. ἠγάπησεν ἂν τὸ ῥῆμα

book 2.2 τοῦτο

book 2.3 παραλαβὼν Δημοσθένης.

book 1.1 [spk_β]Ἂν κελεύῃ με

book 1.2 σταθμοῦχος— Β. ἢ σταθμοῦχος δ’ ἔστι τίς; ἀποπνίξεις δέ με καινὴν

book 1.3 πρός με διάλεκτον λαλῶν.

book 1.1 [spk_α]Α. εἴ τι τάττοι μοι

book 1.2 στέγαρχος—

book 1.1 Τί δ’ ἂν Ἕλληνες μικροτράπεζοι

book 1.2 φυλλοτρῶγες δράσειαν; ὅπου τέτταρα λήψει κρέα μίκρ’ ὀβολοῦ. παρὰ δ’ ἡμετέροις

book 1.3 προγόνοισιν ὅλους[ln_5]βοῦς ὤπτων, σῦς, ἐλάφους, ἄρνας· τὸ τελευταῖον δ’ ὁ μάγειρος ὅλον τέρας ὀπτήσας μεγάλῳ βασιλεῖ θερμὴν

book 1.4 παρέθηκε κάμηλον.

book 1.1 Εἶτ’ ἐπεισῆγεν

book 1.2 χορείαν ἢ τράπεζαν δευτέραν, καὶ παρέθηκε γέμουσαν πέμμασι

book 1.3 παντοδαποῖς. ὡς δ’ ἐδείπνησαν, συνάψαι βούλομαι γὰρ τἀν μέσῳ, καὶ Διὸς

book 1.4 σωτῆρος ἦλθε θηρίκλειον ὄργανον,[ln_5]τῆς

book 1.5 τρυφερᾶς ἀπὸ Λέσβου

book 1.6 σεμνοπότου

book 1.7 σταγόνος

book 1.8 πλῆρες, ἀφρίζον, ἕκαστος δεξιτερᾷ δ’ ἔλαβεν.

book 2.1 Εὖ δ’ ἐγίγνεθ’ ὅτι

book 2.2 φακῆν ἕψειν μ’ ἐδίδασκε τῶν ἐπιχωρίων

book 2.3 τις εἷς.

book 1.1 Ἐν Ἡλίου μέν

book 1.2 φασι γίγνεσθαι πόλει

book 1.3 φοίνικας, ἐν Ἀθήναις δὲ γλαῦκας, ἡ Κύπρος ἔχει

book 1.4 πελείας διαφόρους, ἡ δ’ ἐν Σάμῳ Ἥρα τὸ χρυσοῦν, φασίν, ὀρνίθων γένος,[ln_5]τοὺς καλλιμόρφους καὶ περιβλέπτους

book 1.5 ταὧς.

book 1.1 Πῶς γὰρ ἄν

book 1.2 τις εὐγενὴς γεγὼς δύναιτ’ ἂν ἐξελθεῖν

book 1.3 ποτ’ ἐκ τῆσδε

book 1.4 στέγης; ὁρῶν μὲν ἄρτους λευκοσωμάτους ἰπνὸν καταμπέχοντας ἐν

book 1.5 πυκναῖς διεξόδοις,[ln_5]ὁρῶν δὲ μορφὴν κριβάνοις ἠλλαγμένους, μίμημα

book 1.6 χειρὸς ἀττικῆς, οὓς δημόταις Θεαρίων ἔδειξεν.

book 2.1 Ἐν χύτρᾳ δέ μοι ὅπως ὕδωρ ἕψοντα μηδέν’ ὄψομαι· οὐ γὰρ κακὸν ἔχω μηδ’ ἔχοιμ’· ἐὰν δ’ ἄρα

book 2.2 στρέφῃ με

book 2.3 περὶ τὴν γαστέρ’ ἢ τὸν ὀμφαλόν,[ln_5]παρὰ Φερτάτου δακτύλιός ἐστί μοι δραχμῆς.

book 3 Οὐ φιλοτάριχος οὐδαμῶς εἰμ’, ὦ κόρη.

book 1 [spk_β]Οἷα δ’ ἡ χώρα φέρει διαφέροντα πάσης, Ἱππόνικε, τῆς οἰκουμένης, τὸ μέλι, τοὺς ἄρτους, τὰ σῦκα. Β. σῦκα μὲν νὴ τὸν Δία πάνυ φέρει. Α. βοσκήματ’, ἔρια, μύρτα, θύμα, πυρούς, [ln_4]ὕδωρ,[ln_5]ὥστε καὶ γνοίην ἂν εὐθὺς Ἀττικὸν πίνων ὕδωρ.

book 1.1 Βύστραν

book 1.2 τιν’ ἐκ φύλλων

book 1.3 τινῶν.

book 1.1 Τῆς

book 1.2 τε βελτίστης μεσαῖον θυννάδος Βυζαντίας τέμαχος ἐν

book 1.3 τεύτλου λακιστοῖς κρύπτεται

book 1.4 στεγάσμασιν.

book 1.1 [spk_β]Ἄλλος ἐπὶ τούτῳ μέγας ἥξει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1.2 τις ἰσοτράπεζος εὐγενής. Β. τίνα λέγεις; Α. Καρύστου θρέμμα, γηγενής, ζέων. Β. εἶτ’ οὐκ ἂν εἴποις; ὕπαγε. Α. κάκκαβον λέγω.[ln_5]σὺ δ’ ἴσως ἂν εἴποις λοπάδ’. Β. ἐμοὶ δὲ τοὔνομα οἴει διαφέρειν, εἴτε κάκκαβόν

book 1.3 τινες

book 1.4 χαίρουσιν ὀνομάζοντες εἴτε σίττυβον; πλὴν ὅτι λέγεις ἀγγεῖον οἶδα.

book 2.1 Χοιρίων

book 2.2 σκέλη καπύρ’. Β. ἀστεῖόν γε νὴ τὴν Ἑστίαν ἄριστον. Α. ἑφθὸς

book 2.3 τυρὸς ἐπεδόνει

book 2.4 πολύς.

book 3 Τάριχος ἀντακαῖον ἐν μέσῳ πῖον, ὁλόλευκον, θερμόν.

book 4.1 Ἐγὼ περὶ τὴν ὀψωνίαν μὲν οὐ πάνυ ἐσπούδακ’, οὐδ’ αὖ συνέτεμον λίαν πάνυ, ὡς ἄν

book 4.2 τις ἄλλως ἐξενεχθεῖσιν ὅπου

book 4.3 τοῦ διαβάλοι κραιπάλην ἑλληνικῶς.

book 5.1 Οἷα δ’ ἐστὶν οἶσθα σὺ γύναι; σκόροδα, τυρός, πλακοῦντες, πράγματα ἐλευθέρι’, οὐ τάριχος, οὐδ’ ἡδύσμασιν ἄρνεια καταπεπλησμέν’, οὐδὲ θρυμματίς[ln_5]τεταραγμένη καὶ λοπάδες, ἀνθρώπων

book 5.2 φθοραί. καὶ μὴν ῥαφάνους γ’ ἕψουσι λιπαράς, ὦ θεοί, ἔτνος θ’ ἅμ’ αὐτοῖς πίσινον.

book 1.1 Ὄμνυμι δ’ ὑμῖν, ἄνδρες, αὐτὸν τὸν θεόν ἐξ οὗ τὸ μεθύειν πᾶσιν ὑμῖν γίγνεται, ἦ μὴν ἑλέσθαι

book 1.2 τοῦτον ἂν ζῆν τὸν βίον ἢ τὴν

book 1.3 Σελεύκου

book 1.4 τοῦ βασιλέως ὑπεροχήν.[ln_5]ῥοφεῖν

book 1.5 φακῆν ἐσθ’ ἡδὺ μὴ δεδοικότα, μαλακῶς καθεύδειν ἄθλιον δεδοικότα.

book 1.1 Ἐγὼ γὰρ ἂν εἰ τῶν ὑμετέρων φάγοιμί τι, μύκητας ὠμοὺς ἂν

book 1.2 φαγεῖν ἐμοὶ δοκῶ καὶ στρυφνὰ μῆλα κεἴ τι

book 1.3 πνίγει βρῶμά τι.

book 2 Στῖμιν, κάτοπτρα, κρωβύλους, κεκρυφάλους.

book 1.1 Εὔθυνος δ’ ἔχων

book 1.2 σανδάλια καὶ σφραγῖδα καὶ μεμυρισμένος τῶν

book 1.3 πραγμάτων οὐκ οἶδ’ ὅ τι ἐλογίζετο

book 1.4 Φοινικίδης δὲ Ταυρέας θ’ ὁ φίλτατος,[ln_5]ἄνδρες πάλαι ὀψοφάγοι

book 1.5 τοιοῦτοί τινες, οἷοι καταβροχθίζειν ἐν ἀγορᾷ τὰ τεμάχη, ὁρῶντες ἐξέθνησκον ἐπὶ τῷ πράγματι, ἔφερόν

book 1.6 τε δεινῶς τὴν ἀνοψίαν πάνυ. κύκλους δὲ συναγείροντες ἔλεγον ἂν τάδε,[ln_10]ὡς οὐ βιωτόν ἐστιν οἰδ’ ἀνασχετόν τῆς μὲν θαλάττης ἀντιποιεῖσθαί τινας ὑμῶν ἀναλίσκειν

book 1.7 τε πολλὰ χρήματα, ὄψου δὲ μηδὲν μήποτ’ εἰσπλεῖν μηδὲ γρῦ. τί οὖν ὄφελος τῶν νησιαρχῶν ἐστι; δεῖ[ln_15]νόμῳ κατακλεῖσαι

book 1.8 τοῦτο, παραπομπὴν

book 1.9 ποιεῖν τῶν ἰχθύων. νυνὶ δὲ Μάτων

book 1.10 συνήρπακεν

book 1.11 τοὺς ἁλιέας, καὶ Διογείτων νὴ Δία ἅπαντας ἀναπέπεικεν ὡς αὐτὸν φέρειν, κοὐ δημοτικόν γε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1.12 τοῦτο δρᾷ τοιαῦτα

book 1.13 φλῶν.

book 1 γάμοι δ’ ἐκείνοις καὶ πότοι νεανικοί ἦσαν.

book 1.1 Μακάριόν ἐστιν ἡ τραγῳδία

book 1.2 ποίημα κατὰ πάντ’, εἴ γε

book 1.3 πρῶτον οἱ λόγοι ὑπὸ τῶν θεατῶν εἰσιν ἐγνωρισμένοι, πρὶν καί τιν’ εἰπεῖν· ὡς ὑπομνῆσαι μόνον δεῖ τὸν

book 1.4 ποιητήν· Οἰδίπουν γὰρ ἂν μόνον φῶ, τἄλλα πάντ’ ἴσασιν· ὁ πατὴρ Λάϊος, μήτηρ Ἰοκάστη, θυγατέρες, παῖδες τίνες, τί πείσεθ’ οὗτος, τί πεποίηκεν. ἂν πάλιν εἴπῃ τις Ἀλκμαίωνα, καὶ τὰ παιδία πάντ’ εὐθὺς εἴρηχ’, ὅτι μανεὶς ἀπέκτονεν τὴν μητέρ’, ἀγανακτῶν δ’ Ἄδραστος εὐθέως ἥξει πάλιν τ’ ἄπεισι * * * * ἔπειθ’ ὅταν μηδὲν δύνωντ’ εἰπεῖν ἔτι, κομιδῇ δ’ ἀπειρήκωσιν ἐν

book 1.5 τοῖς δράμασιν,

book 1.1 αἴρουσιν ὥσπερ δάκτυλον τὴν μηχανήν, καὶ τοῖς θεωμένοισιν ἀποχρώντως ἔχει. ἡμῖν δὲ ταῦτ’ οὐκ ἔστιν, ἀλλὰ πάντα δεῖ εὑρεῖν, ὀνόματα καινά, τὰ διῳκημένα

book 1.2 πρότερον, τὰ νῦν

book 1.3 παρόντα, τὴν καταστροφήν, τὴν εἰσβολήν. ἂν ἕν

book 1.4 τι τούτων

book 1.5 παραλίπῃ Χρέμης

book 1.6 τις ἢ Φείδων

book 1.7 τις ἐκσυρίττεται· Πηλεῖ δὲ ταῦτ’ ἔξεστι καὶ Τεύκρῳ ποιεῖν.

book 1.1 Ὅστις ὠψώνηκ’ ἴσως

book 1.2 τούτους μεγαλείως

book 1.3 ταῖς κάκιστ’ ἀπολουμέναις ὑπογάστρι’ ἐλθών, ὅσα

book 1.4 Ποσειδῶν ἀπολέσαι. τάττειν

book 1.5 τε γεννικῶς

book 1.6 παρασκευάζεται πλευρὰν μετ’ αὐτῶν.

book 1.1 Βοιώτιαι μὲν ἐγχέλεις, μῦς

book 1.2 Ποντικοί, γλαῦκοι Μεγαρικοί, μαινίδες Καρύστιαι, φάγροι δ’ Ἐρετρικοί, Σκύριοι δὲ κάραβοι.

book 1.1 [spk_α]Α. Ἰχθύσιν ἀμφίβληστρον ἀνὴρ

book 1.2 πολλοῖς ἐπιβάλλων, οἰηθείς, μεγάλῃ δαπάνῃ μίαν εἵλκυσε πέρκην· καὶ ταύτην

book 1.3 ψευσθεὶς ἄλλην κεστρεὺς ἴσον αὐτήν ἦγεν. βουλομένη δ’ ἕπεται πέρκη μελανούρῳ.

book 1.1 [spk_β]Β. κεστρεύς, ἀνήρ, μελάνουρος, οὐκ οἶδ’ ὅ τι λέγεις· οὐδὲν λέγεις γάρ. Α. ἀλλ’ ἐγὼ σαφῶς

book 1.2 φράσω. ἔστι

book 1.3 τις ὃς τὰ μὲν ὄντα διδοὺς οὐκ οἶδε δεδωκώς οἷσι δέδωκ’, οὐδ’ αὐτὸς ἔχων ὧν οὐδὲν ἐδεῖτο. Β. διδούς

book 1.4 τις οὐκ ἔδωκεν οὐδ’ ἔχων ἔχει;

book 1.1 [spk_α]οὐκ οἶδα

book 1.2 τούτων οὐδέν. Α. οὐκοῦν

book 1.3 ταῦτα καὶ ὁ γρῖφος ἔλεγεν· ὅσα γὰρ οἶσθ’ οὐκ οἶσθα νῦν, οὐδ’ ὅσα δέδωκας, οὐδ’ ὅς’ ἀντ’ αὐτῶν ἔχεις. τοιοῦτο

book 1.4 τοῦτ’ ἦν. Β. τοιγαροῦν κἀγώ τινα εἰπεῖν

book 1.5 πρὸς ὑμᾶς βούλομαι γρῖφον. Α. λέγε.

book 1.1 [ln_15][spk_β]Β. πίννη καὶ τρίγλη

book 1.2 φωνὰς ἰχθῦ δύ’ ἔχουσαι πόλλ’ ἐλάλουν, περὶ ὧν δὲ πρὸς ὅν τ’ ᾤοντο λέγειν

book 1.3 τι οὐκ ἐλάλουν· οὐδὲν γὰρ ἐμάνθανεν, ὥστε

book 1.4 πρὸς ὃν μέν ἦν αὐταῖς ὁ λόγος, πρὸς δ’ αὐτὰς

book 1.5 πολλὰ λαλούσας αὐτὰς ἀμφοτέρας ἡ Δημήτηρ ἐπιτρέψει.

book 1.1 Τὸν

book 1.2 τρόπον μὲν οἶσθά μου ὅτι τῦφος οὐκ ἔνεστιν, ἀλλὰ τοῖς φίλοις

book 1.3 τοιουτοσί τίς εἰμι, τύπτεσθαι μύδρος, τύπτειν κεραυνός, ἐκτυφλοῦν

book 1.4 τιν’ ἀστραπή,[ln_5]φέρειν τίν’ ἄρας ἄνεμος, ἀποπνῖξαι βρόχος, θύρας μοχλεύειν

book 1.5 σεισμός, εἰσπηδᾶν ἀκρίς, δειπνεῖν ἄκλητος μυῖα, μὴ ’ξελθεῖν

book 1.6 φρέαρ, ἄγχειν, φονεύειν, μαρτυρεῖν, ὅς’ ἂν μόνον τύχῃ τις εἰπών, ταῦτ’ ἀπροσκέπτως

book 1.7 ποιεῖν[ln_10]ἅπαντα. καὶ καλοῦσί μ’ οἱ νεώτεροι διὰ ταῦτα πάντα

book 1.8 σκηπτόν· ἀλλ’ οὐδὲν μέλει τῶν

book 1.9 σκωμμάτων μοι· τῶν φίλων γὰρ ὢν φίλος ἔργοισι

book 1.10 χρηστὸς οὐ λόγοις ἔφυν μόνον.

book 1 Ἐς κόρακας, ἥξω φέρων δεῦρο τὸν Πάρνηθ’ ὅλον.

book 1 [spk_σ]Σ. Ἔστι φύσις θήλεια βρέφη σώζους’ ὑπὸ κόλποις αὑτῆς, ὄντα δ’ ἄφωνα βοὴν ἵστησι γεγωνόν καὶ διὰ πόντιον οἶδμα καὶ ἠπείρου διὰ πάσης οἷς ἐθέλει θνητῶν, τοῖς δ’ οὐδὲ παροῦσιν ἀκούειν[ln_5]ἔξεστιν, κωφὴν δ’ ἀκοῆς αἴσθησιν ἔχουσιν.

book 1.1 [ln_5][spk_β]* * * * Β. Ἡ μὲν φύσις γὰρ ἣν λέγεις ἐστὶν πόλις, βρέφη δ’ ἐν αὑτῇ διατρέφει

book 1.2 τοὺς ῥήτορας. οὗτοι κεκραγότες δὲ τὰ διαπόντια τἀκ τῆς Ἀσίας καὶ τἀπὸ Θρᾴκης λήμματα

book 1.1 [ln_10][spk_σ]ἕλκουσι δεῦρο, νεμομένων δὲ πλησίον αὐτῶν κάθηται λοιδορουμένων τ’ ἀεί ὁ δῆμος οὐδὲν οὔτ’ ἀκούων οὔθ’ ὁρῶν. Σ. πῶς γὰρ γένοιτ’ ἂν ὦ πάτερ ῥήτωρ * ἄφωνος, ἣν μὴ ἁλῷ τρὶς

book 1.2 παρανόμων;

book 1 [ln_15][spk_β]Β. καὶ μὴν ἀκριβῶς ᾠόμην ἐγνωκέναι τὸ ῥηθέν· ἀλλὰ δὴ λέγε.

book 1.1 [ln_16][spk_σ]* * * * Σ. Θήλεια μέν νύν ἐστι φύσις ἐπιστολή, βρέφη δ’ ἐν αὑτῇ περιφέρει τὰ γράμματα· ἄφωνα δ’ ὄντα

book 1.2 ταῦτα

book 1.3 τοῖς πόρρω λαλεῖ[ln_20]οἷς βούλεθ’, ἕτερος δ’ ἂν τύχῃ τις

book 1.4 πλησίον ἑστὼς ἀναγιγνώσκοντος οὐκ ἀκούσεται.

book 1.1 Ἔστιν

book 1.2 παρ’ αὐτὴν τὴν δίφορον

book 1.3 συκῆν κάτω.

book 1.1 [spk_β]Ἐπὶ κῶμον, εἰ δοκεῖ, ἴωμεν ὥσπερ ἔχομεν. Β. οὐκοῦν δᾷδα καὶ στεφάνους λαβόντες

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1.2 Χαιρεφῶν οὕτως * * μεμάθηκε κωμάζειν ἄδειπνος.

book 2 Ταχὺ γὰρ γίγνεται κἀκκλησιαστὴς οἰκόσιτος.

book 3 Σαράβαρα καὶ χιτῶνας πάντες ἐνδεδυκότες.

book 1.1 Ὅστις ἄνθρωπος δὲ φύς ἀσφαλές

book 1.2 τι κτῆμ’ ὑπάρχειν τῷ βίῳ λογίζεται, πλεῖστον ἡμάρτηκεν· ἢ γὰρ εἰσφορά τις ἥρπακεν τἄνδοθεν πάντ’, ἢ δίκῃ τις

book 1.3 περιπεσὼν ἀπώλετο,[ln_5]ἢ στρατηγήσας

book 1.4 προσῶφλεν, ἢ χορηγὸς αἱρεθείς ἱμάτια

book 1.5 χρυσᾶ παρασχὼν τῷ χορῷ ῥάκος

book 1.6 φορεῖ, ἢ τριηραρχῶν ἀπήγξατ’, ἢ πλέων ἥλωκέ ποι, ἢ βαδίζων ἢ καθεύδων κατακέκοφθ’ ὑπ’ οἰκετῶν. οὐ βέβαιον οὐδέν ἐστι, πλὴν ὅς’ ἂν καθ’ ἡμέραν[ln_10]εἰς ἑαυτὸν ἡδέως

book 1.7 τις εἰσαναλίσκων τύχῃ. οὐδὲ ταῦτα

book 1.8 σφόδρα

book 1.9 τι· καὶ γὰρ τὴν

book 1.10 τράπεζαν ἁρπάσαι κειμένην ἄν

book 1.11 τις

book 1.12 προσελθών· ἀλλ’ ὅταν τὴν ἔνθεσιν ἐντὸς ἤδη τῶν ὀδόντων

book 1.13 τυγχάνῃς κατεσπακώς, τοῦτ’ ἐν ἀσφαλεῖ νόμιζε τῶν ὑπαρχόντων μόνον.

book 2 Ἐν τῇ Κύπρῳ φής, εἰπέ μοι, διήγετε

book 2.1 [spk_β]πολὺν

book 2.2 χρόνον; Β. τὸν πάνθ’ ἕως ἦν ὁ πόλεμος. Α. ἐν τίνι τόπῳ μάλιστα; λέγε γάρ. Β. ἐν Πάφῳ. οὗ πρᾶγμα

book 2.3 τρυφερὸν διαφερόντως ἦν ἰδεῖν

book 2.1 [ln_5][spk_α]ἄλλως τ’ ἄπιστον. Α. ποῖον; Β. ἐρριπίζετο ὑπὸ τῶν

book 2.2 περιστερῶν, ὑπ’ ἄλλου δ’ οὐδενός, δειπνῶν ὁ βασιλεύς. Α. πῶς; ἐάσας τἄλλα γάρ ἐρήσομαί σε

book 2.3 τοῦτο· πῶς; Β. ἠλείφετο ἐκ τῆς

book 2.4 Συρίας ἥκοντι

book 2.5 τοιούτῳ μύρῳ[ln_10]καρποῦ σύχν’ οἷόν

book 2.6 φασι τὰς

book 2.7 περιστεράς

book 2.8 τρώγειν. διὰ τὴν ὀσμὴν δὲ τούτου

book 2.9 πετόμεναι

book 2.10 παρῆσαν, οἷαί τ’ ἦσαν ἐπικαθιζάνειν ἐπὶ τὴν κεφαλήν· παῖδες δὲ παρακαθήμενοι ἐσόβουν. ἐπαίρουσαι δὲ μικρόν, οὐ πολύ,[ln_15]τοῦ μήτ’ ἐκεῖσε μήτε δεῦρο

book 2.11 παντελῶς, οὕτως ἀνερρίπιζον, ὥστε σύμμετρον αὐτῷ τὸ πνεῦμα, μὴ περίσκληρον, ποιεῖν.

book 3.1 Τῶν

book 3.2 ταῶν μὲν ὡς ἅπαξ

book 3.3 τις ζεῦγος ἤγαγεν μόνον, σπάνιον ὂν τὸ χρῆμα, πλείους εἰσὶ νῦν τῶν ὀρτύγων, χρηστὸν ἄνθρωπον δ’ ἐάν

book 3.4 τις ἕνα μόνον ζητῶν ἴδῃ, ὄψετ’ ἐκ

book 3.5 τούτου

book 3.6 πονηροὺς πέντε

book 3.7 παῖδας γεγονότας.

book 4.1 Ἐκ τῶν μαγειρείων βαδίζων ἐμβαλὼν εἰς

book 4.2 τοὔψον.

book 1.1 Ἥκω

book 1.2 πολυτελῶς ἀγοράσας εἰς

book 1.3 τοὺς γάμους, λιβανωτὸν ὀβολοῦ τοῖς θεοῖς καὶ ταῖς θεαῖς πάσαισι, τοῖς δ’ ἥρωσι τὰ ψαίστ’ ἀπονέμων. ἡμῖν δὲ τοῖς θνητοῖς ἐπριάμην κωβιούς.[ln_5]ὡς

book 1.4 προσβαλεῖν δ’ ἐκέλευσα τὸν

book 1.5 τοιχωρύχον, τὸν ἰχθυοπώλην, Προστίθημι, φησί, σοί τὸν δῆμον αὐτῶν· εἰσὶ γὰρ

book 1.6 Φαληρικοί. ἄλλοι δ’ ἐπώλουν, ὡς ἔοικ’, Ὀτρυνικούς.

book 1.1 Μὴ μεστὰς ἀεί ἕλκωμεν, ἀλλὰ καὶ λογισμὸς εἰς μέσον

book 1.2 παταξάτω

book 1.3 τις, καί τι καὶ μελίσκιον, στροφὴ λόγων

book 1.4 παρελθέτω

book 1.5 τις. ἡδύ τοι[ln_5]ἐστὶν μεταβολὴ παντὸς ἔργου

book 1.6 πλὴν ἑνός.[ln_5]* * * *

book 1.1 [spk_α]* * * Παραδίδου δ’ ἑξῆς ἐμοὶ τὸν ἀρκεσίγυιον, ὡς ἔφασκ’ Εὐριπίδης. Α. Εὐριπίδης γὰρ

book 1.2 τοῦτ’ ἔφασκεν; Β. ἀλλὰ τίς; Α. Φιλόξενος δήπουθεν. Β. οὐδὲν διαφέρει,[ln_10]ὦ τᾶν· ἐλέγχεις μ’ ἕνεκα

book 1.3 συλλαβῆς μιᾶς.

book 2 Κατεσκευασμένος λαμπρότατον ἰατρεῖον εὐχάλκοις πάνυ λουτηρίοισιν, ἐξαλείπτροις, κυλιχνίσιν, σικύαισιν, ὑποθέτοισιν.

book 1.1 Πολύ γ’ ἐστὶ πάντων τῶν

book 1.2 ποιητῶν διάφορος ὁ Φιλόξενος. πρώτιστα μὲν γὰρ ὀνόμασιν ἰδίοισι καὶ καινοῖσι

book 1.3 χρῆται

book 1.4 πανταχοῦ· ἔπειτα τὰ μέλη μεταβολαῖς καὶ χρώμασιν[ln_5]ὡς εὖ κέκραται. θεὸς ἐν ἀνθρώποισιν ἦν ἐκεῖνος, εἰδὼς τὴν ἀληθῶς μουσικήν· οἱ νῦν δὲ κισσόπλεκτα καὶ κρηναῖα καὶ ἀνθεσιπότατα μέλεα μελέοις ὀνόμασιν

book 1.5 ποιοῦσιν ἐμπλέκοντες ἀλλότρια μέλη.

book 1.1 [spk_β]Ἀρετὴ τὸ προῖκα

book 1.2 τοῖς φίλοις ὑπηρετεῖν. Β. λέγεις ἔσεσθαι τὸν

book 1.3 Τιθύμαλλον

book 1.4 πλούσιον· εἰσπράξεται γὰρ μισθὸν ἐκ

book 1.5 τοῦ σοῦ λόγου

book 1.6 παρ’ οἷς ἐδείπνει

book 1.7 προῖκα σύλλεξιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1.8 συχνήν.

book 2.1 Δήμου δ’ Ἁλαεύς ἐστιν. Β. ἓν γὰρ

book 2.2 τοῦτό μοι τὸ λοιπόν ἐστι, καὶ κακῶς ἀκούσομαι. Α. τί δῆτα

book 2.3 τοῦτο; Β. θρᾷτταν ἢ ψῆττάν

book 2.4 τιν’ ἢ μύραιναν ἢ κακόν τί μοι δώσει μέγα[ln_5]θαλάττιον.

book 1.1 Οὗτος δ’ ὃν λέγω ἐν γειτόνων αὐτῷ κατοικούσης

book 1.2 τινὸς ἰδὼν ἑταίρας εἰς ἔρωτ’ ἀφίκετο, ἀστῆς, ἐρήμου δ’ ἐπιτρόπου καὶ συγγενῶν,[ln_5]ἦθός

book 1.3 τι χρυσοῦν

book 1.4 πρὸς ἀρετὴν κεκτημένης, ὄντως ἑταίρας· αἱ μὲν ἄλλαι

book 1.5 τοὔνομα βλάπτουσι

book 1.6 τοῖς

book 1.7 τρόποις γὰρ ὄντως ὂν καλόν.

book 1 Κομψός γε μικρὸς κρωμακίσκος οὑτοσί γαλαθηνός.

book 1.1 Πάντ’ ἐστὶν ἡμῖν· ἥ τε γὰρ

book 1.2 συνώνυμος τῆς ἔνδον οὔσης ἔγχελυς Βοιωτία

book 1.3 τμηθεῖσα κοίλοις ἐν βυθοῖσι κακκάβης

book 1.4 χλιαίνετ’, αἴρεθ’, ἕψεται, παφλάζεται,

book 1.1 [ln_5][spk_β]προσκάεθ’· ὥστε μηδ’ ἂν εἰ χαλκοῦς ἔχων μυκτῆρας εἰσέλθοι

book 1.2 τις, ἐξελθεῖν πάλιν εἰκῇ· τοσαύτην ἐξακοντίζει

book 1.3 πνοήν. Β. λέγεις μάγειρον ζῶντα; Α. πλησίον δέ γε

book 1.4 ταύτης ἄσιτος ἡμέραν καὶ νύχθ’ ὅλην[ln_10]κεστρεύς, λεπισθείς, πασθείς, στραφείς, χρωσθείς, ὁμοῦ τι

book 1.5 πρὸς τέλος μέρος δρόμου

book 1.6 περῶν, σίζει κεκραγώς, παῖς δ’ ἐφέστηκε ῥανῶν ὄξει, Λίβυς

book 1.7 τε καυλὸς ἐξηρασμένος ἀκτῖσι θείαις

book 1.8 σιλφίου

book 1.9 παραστατεῖ.

book 1.1 [ln_15][spk_β]Β. εἶτ’ οὐκ ἐπῳδούς

book 1.2 φασιν ἰσχύειν

book 1.3 τινές; ἐγὼ γὰρ ἤδη

book 1.4 τρεῖς ὁρῶ μασωμένους, σοῦ ταῦτα

book 1.5 συστρέφοντος. Α. ἥ τε σύννομος τῆς κυφονώτου σῶμ’ ἔχουσα

book 1.6 σηπίας, ξιφηφόροισι

book 1.7 χερσὶν ἐξωπλισμένη[ln_20]τευθὶς μεταλλάξασα λευκαυγῆ φύσιν

book 1.8 σαρκὸς

book 1.9 πυρωτοῖς ἀνθράκων ῥαπίσμασιν, ξανθαῖσιν αὔραις σῶμα πᾶν ἀγάλλεται, δείπνου

book 1.10 προφήτην λιμὸν ἐκκαλουμένη. * * * * ὥστε γ’ εἴσιθι·[ln_25]μὴ μέλλε, χώρει· δεῖ γὰρ ἠριστηκότας πάσχειν, ἐὰν

book 1.11 τι καὶ παθεῖν ἡμᾶς δέῃ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 2.1 Οὐ δεινόν ἐστι

book 2.2 προσφάτους μὲν ἂν τύχῃ πωλῶν

book 2.3 τις ἰχθῦς, συναγαγόντα τὰς ὀφρῦς

book 2.4 τοῦτον

book 2.5 σκυθρωπάζοντά θ’ ἡμῖν

book 2.6 προσλαλεῖν, ἐὰν

book 2.7 σαπροὺς κομιδῇ δέ, παίζειν καὶ γελᾶν;[ln_5]τοὐναντίον γὰρ πᾶν ἔδει

book 2.8 τούτους

book 2.9 ποιεῖν· τὸν μὲν γελᾶν, τὸν δ’ ἕτερον οἰμώζειν μακρά.

book 1.1 Σοφόν γέ τοί τι

book 1.2 πρὸς τὸ βουλεύειν ἔχει τὸ γῆρας, ὡς δὴ πόλλ’ ἰδόν

book 1.3 τε καὶ παθόν.

book 1.1 Ἔμμητρον ἂν ᾖ τὸ ξύλον, βλάστην ἔχει. Μητρόπολίς ἐστιν οὐχὶ Πατρόπολις πόλις. Μήτραν

book 1.2 τινὲς

book 1.3 πωλοῦσιν ἥδιστον κρέας. Μητρᾶς ὁ Χῖός ἐστι τῷ δήμῳ φίλος.

book 1.1 [spk_β]Γεγάμηκε δήπου. Β. τί σὺ λέγεις; ἀληθινῶς γεγάμηκεν, ὃν ἐγὼ ζῶντα

book 1.2 περιπατοῦντά τε κατέλιπον;

book 1 [spk_β]Οὐκοῦν τὸ μὲν γλαυκίδιον ὥσπερ ἄλλοτε ἕψειν ἐν ἅλμῃ; Β. φημί. Α. τὸ δὲ λαβράκιον; Β. ὀπτᾶν ὅλον. Α. τὸν γαλεόν; Β. ἐν ὑποτρίμματι ζέσαι. Α. τὸ δ’ ἐγχέλειον; Β. ἅλες, ὀρίγανον,

book 1 [ln_5][spk_α]ὕδωρ. Α. ὁ γόγγρος; Β. ταὐτόν. Α. ἡ βατίς; Β. χλόη. Α. πρόσεστι θύννου τέμαχος. Β. ὀπτήσεις. Α. κρέας ἐρίφειον; Β. ὀπτόν. Α. θάτερον; Β. τἀναντία. Α. ὁ σπλήν; Β. σεσάχθω. Α. νῆστις; Β. ἀπολεῖ μ’[ln_8]οὑτοσί.

book 1 Στακτὴ δυοῖν μναῖν οὐκ ἀρέσκει μ’ οὐδαμῶς.

book 1 Τῷ σατραποπλούτῳ δ’, ὡς λέγουσι, νυμφίῳ, κεκτημένῳ τάλαντα, παῖδας, ἐπιτρόπους, ζεύγη, καμήλους, στρώματ’, ἀργυρώματα, φιάλας, τριήρεις, τραγελάφους, καρχήσια,

book 1 [ln_5][spk_β]γαυλοὺς ὁλοχρύσους. Β. πλοῖα; Α. τοὺς κάδους μὲν οὖν καλοῦσι γαυλοὺς πάντες οἱ προγάστορες.

book 2.1 Τέτταρες δ’ αὐλητρίδες ἔχουσι μισθὸν καὶ μάγειροι δώδεκα, καὶ δημιουργοὶ μέλιτος αἰτοῦσαι

book 2.2 σκάφας.

book 1-3.1 Τὸ δεῖπνόν ἐστι μᾶζα κεχαρακωμένη ἀχύροις, πρὸς εὐτέλειαν ἐξωπλισμένη, καὶ βολβὸς εἷς

book 1-3.2 τις καὶ παροψίδες

book 1-3.3 τινές, σόγχος

book 1-3.4 τις ἢ μύκης

book 1-3.5 τις ἢ τοιαῦθ’ ἃ δή[ln_5]δίδωσιν ἡμῖν ὁ τόπος ἄθλι’ ἀθλίοις. τοιοῦτος ὁ βίος, ἀπύρετος, φλέγμ’ οὐκ ἔχων.[ln_6]* * * * Οὐδεὶς κρέως

book 1-3.6 παρόντος ἐσθίει θύμον, οὐδ’ οἱ δοκοῦντες

book 1-3.7 πυθαγορίζειν.[ln_8]* * * * Τίς γὰρ οἶδ’ ἡμῶν τὸ μέλλον ὅ τι

book 1-3.8 παθεῖν[ln_10]πέπρωθ’ ἑκάστῳ τῶν φίλων; ταχὺ δὴ λαβὼν ὄπτα μύκητας

book 1-3.9 πρινίνους

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1-3.10 τουσδὶ δύο.

book 4.1 Τοῦ γάρ

book 4.2 τις ἄλλου

book 4.3 πρὸς θεῶν οὕνεκα εὔξαιτο

book 4.4 πλουτεῖν εὐπορεῖν

book 4.5 τε χρημάτων, ἢ τοῦ δύνασθαι

book 4.6 παραβοηθεῖν

book 4.7 τοῖς φίλοις, σπείρειν

book 4.8 τε καρπὸν Χάριτος ἡδίστης θεῶν;[ln_5]τοῦ μὲν

book 4.9 πιεῖν γὰρ καὶ φαγεῖν τὰς ἡδονάς ἔχομεν ὁμοίας· οὐχὶ τοῖς λαμπροῖσι δέ δείπνοις τὸ πεινῆν

book 4.10 παύεται.

book 5.1 Οὗτοι δὲ πρὸς τὰ δεῖπνα τῶν ἐν τῇ πόλει ἀφορῶσι * * * καὶ πέτονται δεξιῶς ἐπὶ ταῦτ' ἄκλητοι οὓς ἐκ κοινοῦ[ln_5]ἔδει

book 5.2 τρέφειν τὸν δῆμον, ἀεί θ' ὡσπερεί Ὀλυμπίασί φασι

book 5.3 ταῖς μυίαις

book 5.4 ποιεῖν βοῦν

book 5.5 τοῖς ἀκλήτοις

book 5.6 προκατακόπτειν

book 5.7 πανταχοῦ.

book 6.1 Οἴμοι κακοδαίμων, τὸν

book 6.2 τράχηλον ὡς ἔχω.

book 7.1 Σφαῖραν λαβών τῷ μὲν διδοὺς ἔχαιρε, τὸν δ' ἔφευγ' ἅμα, τοῦ δ' ἐξέκρουσε, τὸν δ' ἀνέστησεν πάλιν, κλαγκταῖσι

book 7.2 φωναῖς * * * *[ln_5]ἔξω, μακράν, παρ' αὐτόν, ὑπὲρ αὐτόν, κάτω, ἄνω, βραχεῖαν ἀπόδοσιν ἐγκαταστρέφει.

book 8.1 Φαινίνδα

book 8.2 παίζων ᾖεις ἐν

book 8.3 Φαινεστίου.

book 9.1 Ἐς μακαρίαν τὸ λουτρόν, ὡς διέθηκέ με. ἑφθὸν κομιδῇ πεποίηκεν, ἀποκναίσειεν ἄν κἂν ὁστισοῦν μου λαβόμενος

book 9.2 τοῦ δέρματος. οὕτω

book 9.3 στερεόν

book 9.4 τι πρᾶγμα θερμόν ἐσθ' ὕδωρ.

book 10.1 [spk_β]Τὸ δὲ ζῆν εἰπέ μοι τί ἐστί; Β. τὸ πίνειν φήμ' ἐγώ. ὁρᾷς

book 10.2 παρὰ ῥείθροισι

book 10.3 χειμάρροις ὅσα δένδρων ἀεὶ τὴν νύκτα καὶ τὴν ἡμέραν[ln_5]βρέχεται μέγεθος καὶ κάλλος οἷα γίγνεται, τὰ δ' ἀντιτείνονθ' οἱονεὶ δίψαν

book 10.4 τινά ἢ ξηρασίαν

book 10.5 σχόντ' αὐτόπρεμν' ἀπόλλυται.

book 11.1 Ἐξ Ἤλιδος μάγειρος, ἐξ Ἄργους λέβης, Φλιάσιος οἶνος, ἐκ Κορίνθου

book 11.2 στρώματα, ἰχθῦς

book 11.3 Σικυῶνος, Αἰγίου δ' αὐλητρίδες, τυρὸς

book 11.4 Σικελικός,[ln_5]μύρον ἐξ Ἀθηνῶν, ἐγχέλεις Βοιώτιαι.

book 12.1 Κρύψαι, Φειδία, ἅπαντα τἄλλα

book 12.2 τις δύναιτ' ἂν

book 12.3 πλὴν δυοῖν, οἶνόν

book 12.4 τε πίνων εἰς ἔρωτά τ' ἐμπεσών. ἀμφότερα μηνύει γὰρ ἀπὸ τῶν βλεμμάτων[ln_5]καὶ τῶν λόγων

book 12.5 ταῦθ', ὥστε

book 12.6 τοὺς ἀρνουμένους μάλιστα

book 12.7 τούτους καταφανεῖς

book 12.8 ποιεῖ.

book 13.1 Οἴνῳ * * τὸν οἶνον ἐξελαύνειν, σάλπιγγι τὴν σάλπιγγα, τῷ κήρυκι τὸν βοῶντα, κόπῳ κόπον, ψόφῳ ψόφον, τριωβόλῳ δὲ πόρνην, αὐθαδίαν αὐθαδίᾳ, Καλλίστρατον μαγείρῳ,[ln_5]στάσιν

book 13.2 στάσει, μάχῃ μάχην, ὑπωπίοις δὲ πύκτην, πόνῳ πόνον, δίκῃ δίκην, γυναικὶ τὴν γυναῖκα.

book 14.1 Μεταλλάξαι διάφορα βρώματα ἔσθ' ἡδύ, καὶ τῶν

book 14.2 πολλάκις θρυλουμένων διάμεστον ὄντα τὸ παραγεύσασθαί τινος καινοῦ, παρέσχε διπλασίαν τὴν ἡδονήν.

book 15.1 Ἄλλοι δὲ καὶ δὴ βακχίου

book 15.2 παλαιγενοῦς ἀφρῷ σκιασθὲν

book 15.3 χρυσοκόλλητον δέπας μεστόν, κύκλῳ χορεῦον, ἕλκουσι γνάθοις ὁλκοῖς ἀπαύστοις, παντελῶς ἐστραμμένον[ln_5]τἄνω κάτω δεικνύντες.

book 17-18.1 Ἐὰν μὲν ἄρα πέπερι φέρῃ τις

book 17-18.2 πριάμενος, στρεβλοῦν γράφουσι

book 17-18.3 τοῦτον ὡς κατάσκοπον.[ln_2]* * * * Νῦν δεῖ περιόντα πέπερι καὶ καρπὸν βλίτου ζητεῖν.

book 19.1 Οὑτοσὶ δέ σοι

book 19.2 τοῦ λευκοτάτου πάντων ἐλαίου

book 19.3 Σαμιακοῦ ἔστιν μετρητής.

book 20.1 [spk_β]Ἓν νόσημα

book 20.2 τοῦτ' ἔχει· ἀεὶ γὰρ ὀξύπεινός ἐστι. Β. Θετταλὸν λέγεις κομιδῇ τὸν ἄνδρα.

book 21 Νήττας, σχαδόνας, κάρυ' ἐντραγεῖν, ᾠ', ἐγκρίδας, ῥαφανῖδας ἀπλύτους, γογγυλίδας, χόνδρον, μέλι.

book 22.1 Ἀεὶ δὲ πρὸς Μούσαισι καὶ λόγοις πάρει, ὅπου

book 22.2 τε σοφίας ἔργον ἐξετάζεται.

book 23-24.1 Βίος θεῶν γάρ ἐστιν ὅταν ἔχῃς

book 23-24.2 ποθέν τἀλλότρια δειπνεῖν μὴ προσέχων λογίσμασιν.[ln_2]* * * * Μακάριος ὁ βίος· δεῖ μ' ἀεὶ καινὸν πόρον εὑρεῖν ὅπως μάσημα

book 23-24.3 ταῖς γνάθοις ἔχω.

book 25-26.1 Ἄριστον ἐν ὅσῳ * * ὁ μάγειρος

book 25-26.2 ποιεῖ.[ln_1]* * * Συνακρατίσασθαι πῶς ἔχεις μετ’ ἐμοῦ;

book 27.1 Οὐδ’ ἧψεν κρέα οὐδ’ ἐγκέφαλον· ὤπτα δὲ καὶ τὰς κοιλίας. οὕτω

book 27.2 σφόδρ’ ἦν ἀρχαῖος.

book 28.1 Ἔστιν ὄψον

book 28.2 χρηστόν, ἐπαγωγὸν πάνυ, οἶνός

book 28.3 τε Θάσιος καὶ μύρον καὶ στέμματα.

book 29.1 Στεφάνους ἐνεγκεῖν δεῦρο τῶν

book 29.2 χρηστῶν δύο, καὶ δᾷδα

book 29.3 χρηστὴν ἡμμένην

book 29.4 χρηστῷ πυρί.

book 30 Μέλι, πέρδικες, φάτται, νῆτται, χῆνες, ψᾶρες, κίττα, κολοιός, κόψιχος, ὄρτυξ, ὄρνις θήλεια.

book 31-32.1 Τὶ φῄς; * * * ἐνθάδ’ οἴσεις

book 31-32.2 τι καταφαγεῖν ἐπὶ τὴν θύραν, εἶθ’ ὥσπερ οἱ πτωχοὶ χαμαί ἐνθάδ’ ἔδομαι * * * καί τις ὄψεται; [ln_3]* * * * Εὐτρέπιζε[ln_5]ψυκτῆρα, λεκάνην, τριπόδιον, ποτήριον, χύτραν, θυΐαν, κάκκαβον, ζωμήρυσιν.

book 33.1 Συνεχῶς γὰρ ἐμπιπλάμενος ἀμελὴς γίγνεται ἄνθρωπος, ὑποπίνων δὲ πάνυ

book 33.2 φροντιστικός.

book 34.1 Συναγαγών

book 34.2 τρεῖς ὄντας εἱς

book 34.3 τρίκλινον ὑμᾶς.

book 35.1 Δεῖ γὰρ

book 35.2 φαγόντας δαψιλῶς βρέχειν.

book 36 Ἐπεὶ δ’ ὁ τρίπους ἤρθη, κατὰ χειρῶν ἐχέομεν.

book 37 Ἀσπάραγος ἐπηγλαΐζετ’, ὦχρος ἐξήνθηκέ τις.

book 39 Ὁ μηδὲν ἀδικῶν οὐδενὸς δεῖται νόμου.

book 40 Τὰ πονηρὰ κέρδη τὰς μὲν ἡδονὰς ἔχει μικράς, ἔπειτα δ’ ὕστερον λύπας μακράς.

book 41.1 Ὡς δυστυχεῖς, ὅσοισι

book 41.2 τοῦ κέρδους χάριν ἐπίπροσθε

book 41.3 ταἰσχρὰ φαίνετ’ εἶναι τῶν καλῶν. ἐπισκοτεῖ γὰρ τῷ φρονεῖν τὸ λαμβάνειν.

book 42a Εἰ θνητὸς εἶ βέλτιστε, θνητὰ καὶ φρόνει.

book 42b.1 Τὸ μὴ συνειδέναι γὰρ αὑτοῦ τῷ βίῳ ἀδίκημα μηδὲν ἡδονὴν

book 42b.2 πολλὴν ἔχει.

book 43.1 Δέσποιν’, ὅταν

book 43.2 τις ὀμνύοντος καταφρονῇ, ᾧ μὴ σύνοιδε

book 43.3 πρότερον ἐπιωρκηκότι, οὗτος καταφρονεῖν τῶν θεῶν ἐμοὶ δοκεῖ καὶ πρότερον ὀμόσας αὐτὸς ἐπιωρκηκέναι.

book 44.1 Ὁ διδοὺς τὸν ὅρκον τῷ πονηρῷ μαίνεται· τοὐναντίον γὰρ νῦν

book 44.2 ποιοῦσιν οἱ θεοί. ἐὰν ἐπιορκήσῃ τις, αὐτὸς εὐθέως ὁ διδοὺς τὸν ὅρκον, ἐγένετ’ ἐμβρόντητος, ὡς[ln_5]οἶμαι δικαίως, ὅτι

book 44.3 πεπίστευκέν

book 44.4 τινι.

book 45 Τῆς ἐπιμελείας δοῦλα πάντα γίγνεται.

book 46.1 Οὐκ ἔστιν οὐδὲν λεγόμενον μακρῶς, ὅτε ὁ λέγων ὑποτάττει

book 46.2 τοῖς λόγοις τὰ πράγματα.

book 47.1 Τρόπος δίκαιος κτῆμα

book 47.2 τιμιώτατον.

book 48.1 Ἐπεὶ γὰρ ἀποθνήσκειν ἀνάγκη γίγνεται, τὸ προῖκ’ ἀποθανεῖν ἔστι

book 48.2 φανερὰ ζημία.

book 49.1 Τίς δ’ οὐχὶ θανάτου μισθοφόρος, ὦ φιλτάτη, ὃς ἕνεκα

book 49.2 τοῦ ζῆν ἔρχετ’ ἀποθανούμενος.

book 50.1 Δούλῳ γὰρ οἶμαι

book 50.2 πατρίδος ἐστερημένῳ χρηστὸς γενόμενός ἐστι δεσπότης

book 50.3 πατρίς.

book 51.1 Εἴ τίς

book 51.2 φησι

book 51.3 τοὺς ἐρῶντας οὐχὶ νοῦν ἔχειν, ἦ πού τίς ἐστι

book 51.4 τοὺς

book 51.5 τρόπους ἀβέλτερος. εἰ γὰρ ἀφέλοι

book 51.6 τις

book 51.7 τοῦ βίου τὰς ἡδονάς, καταλείπετ’ οὐδὲν ἕτερον ἢ τεθνηκέναι.

book 52.1 Ὡς ἔστι τὸ γαμεῖν ἔσχατον

book 52.2 τοῦ δυστυχεῖν.

book 53.1 Οὐκ ἔστιν οὐδὲν βαρύτερον τῶν

book 53.2 φορτίων ὄντως γυναικὸς

book 53.3 προῖκα

book 53.4 πολλὴν

book 53.5 φερομένης.

book 54.1 Ἐγὼ γυναικὶ δ’ ἕν

book 54.2 τι πιστεύω μόνον, ἐπὰν ἀποθάνῃ μὴ βιώσεσθαι πάλιν, τὰ δ’ ἄλλ’ ἀπιστῶ πάνθ’ ἕως ἂν ἀποθάνῃ.

book 55.1 Ὀφθαλμιῶν ἄνθρωπος ἰσχυρῶς, κακὰ πάμπολλα πάσχων, ἓν ἀγαθὸν πάσχει μόνον, ὅτι οὐχ ὁρᾷ γυναῖκα

book 55.2 τοῦτον τὸν

book 55.3 χρόνον.

book 56 Μὴ χρώμασιν τὸ σῶμα λαμπρύνειν θέλε, ἔργοις δὲ καθαροῖς καὶ τρόποις τὴν καρδίαν.

book 57.1 Τί φῄς; λαθεῖν ζητῶν

book 57.2 τι πρὸς γυναῖκ’ ἄρα ἐρεῖς τὸ πρᾶγμα; καὶ τί τοῦτο διαφέρει ἢ πᾶσι

book 57.3 τοῖς κήρυξιν ἐν ἀγορᾷ φράσαι;

book 58abc.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὅστις δ’ ἐρυθριᾷ τηλικοῦτος ὢν ἔτι

book 58abc.2 πρὸς

book 58abc.3 τοὺς ἑαυτοῦ γονέας, οὐκ ἔστιν κακός. Ὅστις γὰρ ὁμόλογόν

book 58abc.4 τι μὴ ποιεῖ πατρί, πάντων ἂν οὗτος κατεφρόνησε τῶν θεῶν.[ln_5]Τοῦ γὰρ

book 58abc.5 πατρὸς κρατεῖν μὲν αἰσχύνην φέρει, ἡσσημένῳ δὲ δόξα νικητήριος.

book 59.1 Υἱῷ γὰρ ἀγαπητῷ τι

book 59.2 πράττων

book 59.3 πρὸς χάριν ἔρανον ἐμαυτῷ τοῦτον οἴομαι φέρειν.

book 60.1 Ἆρ’ ἐστὶ λῆρος πάντα

book 60.2 πρὸς τὸ χρυσίον· μόνου γὰρ αὐτοῦ διαμένειν εἴωθ’ ἀεί τὸ χρῶμα

book 60.3 ταὐτό· τῶν φίλων δὲ τοὺς

book 60.4 τρόπους οὐδέποθ’ ὁμοίως ζωγραφοῦσιν αἱ τύχαι.[ln_5]πλοῦτος δὲ βάσανός ἐστιν ἀνθρώπου

book 60.5 τρόπων. ὅταν εὐπορῶν γὰρ αἰσχρὰ πράττῃ πράγματα, τί τοῦτον ἀπορήσαντ’ ἂν οὐκ οἴει

book 60.6 ποιεῖν;

book 61ab.1 Οὐπώποτ’ ἐζήλωσα

book 61ab.2 πλουτοῦντα

book 61ab.3 σφόδρα ἄνθρωπον, ἀπολαύοντα μηδὲν ὧν ἔχει. Ὁ δὲ πλοῦτος ἡμᾶς, καθάπερ ἰατρὸς κακός, πάντας βλέποντας

book 61ab.4 παραλαβὼν

book 61ab.5 τυφλοὺς

book 61ab.6 ποιεῖ.

book 62 Καλῶς πένεσθαι μᾶλλον ἢ πλουτεῖν κακῶς· τὸ μὲν γὰρ ἔλεον τὸ δ’ ἐπιτίμησιν φέρει.

book 63.1 Ψυχὴν ἔχειν δεῖ πλουσίαν· τὰ δὲ χρήματα

book 63.2 ταῦτ’ ἔστιν ὄψις, παραπέτασμα

book 63.3 τοῦ βίου.

book 64 Λύπη μανίας ὁμότοιχος εἶναί μοι δοκεῖ.

book 65 Οἴ μοι τάλας, ὡς ἄδικον ὅταν ἡ μὲν τύχη λίπῃ τινὸς τὴν τάξιν, ὁ δὲ τρόπος μένῃ.

book 66-67.1 Τὰ τύχης φέρειν δεῖ γνησίως τὸν εὐγενῆ. Τὸ μὲν ἀτυχῆσαι

book 66-67.2 παντὸς εἶναί μοι δοκεῖ, ἀνδρὸς δ’ ἐνεγκεῖν ἀτυχίαν ὀρθῷ τρόπῳ.

book 68.1 Σφόδρ’ ἐστὶν ἡμῶν ὁ βίος οἴνῳ προσφερής· ὅταν ᾖ τὸ λαιπὸν μικρόν, ὄξος γίγνεται. πρὸς γὰρ τὸ γῆρας ὥσπερ ἐργαστήριον ἅπαντα τἀνθρώπεια

book 68.2 προσφοιτᾷ κακά.

book 69.1 Τὸ γῆρας ὥσπερ βωμός ἐστι τῶν κακῶν· πάντ’ ἔστ’ ἰδεῖν εἰς

book 69.2 τοῦτο καταπεφευγότα.

book 70.1 Ὦ γῆρας, ὡς ἅπασι

book 70.2 τοῖς ζητοῦσί σε ψέγειν ἀφορμὰς

book 70.3 παραδίδως

book 70.4 τοῦ πράγματος.

book 71.1 Οὐδεὶς τὰ πατρῷά πω γέρων κατεδήδοκεν, ἀλλ’ οὐδὲ κατεμώρανεν, οὐδ’ ἐλύσατο

book 71.2 πορνίδιον, οὐδὲ θυροκοπῶν ὦφλεν δίκην. οὕτω τὸ γῆρας
book 71.3 σωφρονοῦν οὐκ εὐτυχεῖ.
book 72.1 Μάλιστα δ’ ἐκπλήττει με τῶν
book 72.2 συνειδότων ὁ χρόνος, ὃν ἀεὶ λανθάνειν ἀμηχανῶ.
book 73.1 Τὸ γὰρ
book 73.2 πεπαιδεῦσθαι, μόνον ἄν
book 73.3 τις
book 73.4 τοῦτ’ ἔχῃ, ἀληθές ἐστι καὶ τὸ τῶν ἀδικημάτων μὴ λαμβάνειν τὰς ἀξίας
book 73.5 τιμωρίας, ἑλεῖν δὲ πάντως.
book 74.1 Ἐχθὲς μετὰ πέντ’ ἔπινον, ἡμέραν
book 74.2 τρίτην μεθ’ ἑπτά.
book 75 Μὰ γῆν, μὰ κρήνας, μὰ ποταμούς, μὰ νάματα.
book 76 Περίνησα καὶ περίλευκα καὶ πεντέκτενα.